



Hippocratis
1557














# ΙΠΠΟΚΡΑΤΟΥΣ ΑΦΟΡΙΣΜΩΝ,

## Τμῆμα πρῶτον.

Ὁ ΒΙΟΣ βραχὺς, ἡ δὲ τέχνη μακρὴ, ὁ δὲ καιρὸς ὀξὺς, ἡ δὲ πεῖρα σφαλερὴ, ἡ δὲ κρίσις χαλεπή. δεῖ δὲ οὐ μόνον ἑωυτὸν παρέχειν τὰ δέοντα ποιέοντα, ἀλλὰ καὶ τὸν νοσέοντα, καὶ τοὺς παρεόντας, καὶ τὰ ἔξωθεν.

Ἐν τῇσι ταραχῇσι τῆς κοιλίης καὶ τοῖς ἐμέτοισι τοῖσιν αὐτομάτως γινομένοισιν, ἢν μὲν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσιν· ἢν δὲ μὴ, τοὐναντίον. οὕτω δὲ καὶ ἡ

# APHORISMORVM HIPPOCRATIS,

## Sectio prima.

VITA breuis, ars verò longa, occaſio autem præceps, experimẽtum periculoſum, iudicium difficile. Nec ſolum ſeipſum pręſtare oportet opportuna facientem, ſed & ægrum, & aſsidentes, & exteriora.

In perturbationibus ventris, & vomitibus ſpontaneis, ſi talia purgentur qualia purgari oportet, confert & leuiter ferunt: ſin minus, cõtra. Sic &

vaſorũ inanitio, ſi ſi
at qualis fieri debet
cõfert, & bene tole-
rãt: ſin minꝰ, cõtra.
Inſpicienda itaq; &
regio, & tẽpus, & æ-
tas, & morbi in qui-
bꝰ cõueniat, aut nõ.

Habitus exerci-
tatorũ qui ad ſum-
mum bonitatis at-
tingunt, periculoſi,
ſi in extremo con-
ſtiterint. neq; enim
poſſunt in eodẽ per
manere, neq; quie-
ſcere. Cùm verò nõ
quieſcãt, neq; poſsit
ꝑficere in meliꝰ, reli
quũ eſt vt decidant
in deteriꝰ. His ergo
de cauſis bonũ habi
tũ ſtatĩ ſoluere expe
dit, vt corpus rurſus
nutriri ĩcipiat: neq;
cõpreſsiones ad ex-
tremũ ducẽdę: peri-

κενεαγγείη, ἢν μὲν οἵην
δεῖ γίγνεσθαι γίγνηται,
ξυμφέρει τε, καὶ εὐφό-
ρως φέρουσιν· ἢν δὲ
μὴ, τοὐναντίον. ἐπιβλέ-
πειν οὖν δεῖ καὶ χώρην,
καὶ ὥρην, καὶ ἡλικίην,
καὶ νούσους ἐν ᾗσι δεῖ,
ἢ οὔ.

Ἐν τοῖσι γυμναστι-
κοῖσιν αἱ ἐπ᾽ ἄκρον
εὐεξίαι σφαλεραὶ, ἢν
ἐν τῷ ἐσχάτῳ ἔωσιν· οὐ
γὰρ δύνανται μένειν
ἐν τῷ αὐτέῳ, οὐδὲ ἀτρε-
μέειν. ἐπὶ δὲ οὐκ ἀτρε-
μέουσιν, οὐδ᾽ ἔτι δύναν-
ται ἐπὶ τὸ βέλτιον ἐπιδι-
δόναι· λείπεται οὖν ἐπὶ τὸ
χεῖρον. τουτέων οὖν εἵνε-
κα τὴν εὐεξίην λύειν
ξυμφέρει, μὴ βραδέ-
ως, ἵνα πάλιν ἀρχὴν
ἀναθρέψιος λαμβά-
νῃ τὸ σῶμα· μηδὲ τὰς
συμπτώσιας ἐς τὸ ἔ-
σχατον ἄγειν· σφαλε-

ρὸν γάρ. ἀλλ᾽ ὁκοίη ἂν ἡ φύσις ᾖ τοῦ μέλλοντος ὑπομένειν, εἰς τοῦτο ἄγειν. ὡσαύτως δὲ καὶ αἱ κενώσιες αἱ ἐς τὸ ἔσχατον ἄγουσαι σφαλεραὶ, καὶ πάλιν αἱ ἀναθρέψιες, αἱ ἐν τῷ ἐσχάτῳ ἐοῦσαι σφαλεραί.

Αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται, καὶ ἐν τοῖσι μακροῖσιν αἰεὶ πάθεσι, καὶ ἐν τοῖσιν ὀξέσιν, οὗ μὴ ἐπιδέχεται, σφαλεραί. καὶ πάλιν αἱ ἐς τὸ ἔσχατον λεπτότητος ἀφιγμέναι δίαιται, χαλεπαί· καὶ γὰρ αἱ πληρώσιες αἱ ἐς τὸ ἔσχατον ἀφιγμέναι χαλεπαί.

Ἐν τῇσι λεπτῇσι διαίτησι ἁμαρτάνουσι νοσέοντες. διὸ μᾶλλον βλάπτονται· πᾶν γὰρ τὸ ἁμάρτημα ὃ

culosũ enĩ. Sed qualis natura fuerit eiꝰ qui debet perferre, ad hoc ducere cõuenit. Sic & vacuationes quę ad extremũ deducunt, periculosæ: & ruršꝰ refectiones, cũ extremę fuerint, periculosæ.

Victꝰ tenuis, atq; exquisitꝰ, in morbis quidẽ longis semper, in acutis verò, in quibus non conuenit, periculosus. Et rursus qui ad extremũ deuenit tenuitatis, grauis est. Nam & repletiones quæ ad extremũ deueniunt, graues sũt.

In tenui victu ægri delinquũt: quò fit vt magis lædantur. Quicunque enim error cõmitti-

tur magnus, maior in hoc fit, quàm in paulo pleniori victu. propterea etiam sanis periculosus existit valde tenuis ac exquisitus victus & status: quoniam errores grauius ferunt. Ob hoc igitur tenuis victus, atque admodum exquisitus, eo qui sit paulo plenior, magis periculosus.

Extremis morbis, extrema exquisitè remedia optima sunt.

Vbi morbus peracutus est, statim extremos habet labores, & extremè tenuissimo victu vtẽdũ est. Vbi vero nõ, sed plenioré victũ contingit adhibere,

αὖ γίνηται μέγα, γίνεται μᾶλλον ἐν τῇσι λεπτῇσι, ἢ ἐν τῇσιν ὀλίγον ἁδροτέρῃσι διαίτῃσι. διὰ τοῦτο καὶ τοῖσιν ὑγιαίνουσι σφαλεραὶ αἱ πάνυ λεπταὶ καθεστηκυῖαι καὶ ἀκριβέες δίαιται, ὅτι τὰ ἁμαρτανόμενα χαλεπώτερον φέρουσι. διὰ τοῦτο οὖν αἱ λεπταὶ καὶ ἀκριβέες δίαιται σφαλεραὶ ἐς τὰ πλεῖστα τῶν σμικρὸν ἁδροτέρων.

Ἐς δὲ τὰ ἔσχατα νοσήματα, αἱ ἔσχαται θεραπεῖαι ἐς ἀκριβείην κράτισται.

Ὅκου μὲν οὖν κάτοξυ τὸ νόσημα, αὐτίκα καὶ τοὺς ἐσχάτους πόνους ἔχει, καὶ τῇ ἐσχάτως λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι· ὅκου δὲ μή, ἀλλ' ἐνδέχεται ἁδροτέρως διαιτᾶν,

ἐς τοῦτον ἀποκαταβαίνειν, ὁκόσον αὖ ἡ νοῦσος μαλθακωτέρη τῶν ἐσχάτων ᾖ.

Ὁκόταν δὲ ἀκμάζῃ τὸ νόσημα, τότε καὶ τῇ λεπτοτάτῃ διαίτῃ ἀναγκαῖον χρέεσθαι.

Συντεκμαίρεσθαι δὴ χρὴ καὶ τὸν νοσέοντα, εἰ ἀρκέσει τῇ διαίτῃ πρὸς τὴν ἀκμὴν τῆς νούσου, καὶ πότερον ἐκεῖνος ἀπαυδήσει πρότερον, καὶ οὐκ ἐξαρκέσει τῇ διαίτῃ, ἢ ἡ νοῦσος πρότερον ἀπαυδήσει, καὶ ἀμβλυνεῖται.

Ὁκόσοισι μὲν οὖν αὐτίκα ἡ ἀκμὴ, αὐτίκα λεπτῶς διαιτᾶν· ὁκόσοισι δὲ ἐς ὕστερον ἡ ἀκμὴ, ἐς ἐκεῖνο καὶ πρὸ ἐκείνου μικρὸν ἀφαιρε-

tantum cibi indulgendum eſt, quanto morbus remiſsior extremis fuerit.

Quando morbus in ſuo vigore conſtiterit, tũc victu tenuiſsimo vtendum.

Cõiectari autem oportet, an æger eo victu ſufficiat vſq; ad morbi vigorem: & nunquid prius ille deficiat, & impár ne futurus ſit ei victui, an morbus antea deficiat atque hebeteſcat.

Quibus igitur ſtatim morbus con ſiſtit, ijs ſtatim tenuis victus adhibendus eſt: quibus verò poſterius debet cõſiſtere, in ipſo tẽpore vigoris, & paulo antè cibus ſub-

trahendus. prius verò vberius agendũ, vt æger sufficiat.

In accessionibus abstinere oportet: nã cibũ dare, nocuũ est. & quib⁹ ꝑ circuitũ fiũt accessiones, in ipsa accessione abstinere oportet.

Accessiones verò & constitutiones, morbi iudicabũt, & anni tempora, & circuituum successiua incremẽta, siue quotidie, siue alternis diebus, siue per maiora interualla fiãt. Sed & ex his quæ mox apparẽt, ĩdicia sumũtur: quẽadmogum in morbo laterali, si circa initia statĩ sputũ appareat, morbum breuiat: si verò postea appa-

τέον. ἔμπροσθεν δὲ πιοτέρως διαιτᾶν, ὡς ἂν ἐξαρκέτῃ ὁ νοσέων.

Ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή· τὸ προστιθέναι γὰρ βλάβη· καὶ ὁκόσα κατὰ περιόδους παροξύνεται, ἐν τοῖσι παροξυσμοῖσιν ὑποστέλλεσθαι χρή.

Τοὺς δὲ παροξυσμοὺς καὶ τὰς καταστάσιας δηλώσουσιν αἱ νοῦσοι, καὶ αἱ ὧραι τοῦ ἔτεος, καὶ αἱ τῶν περιόδων πρὸς ἀλλήλας ἐπιδόσιες, ἤν τε καθ' ἡμέρην, ἤν τε παρ' ἡμέρην, ἤν τε καὶ διὰ πλείονος χρόνου γίνωνται. ἀτὰρ καὶ τοῖσιν ἐπιφαινομένοισιν, οἷον ἐν πλευριτικοῖσι, πτύελον αὐτίκα ἢν ἐπιφαίνηται, ἀρχομένου μὲν βραχύνει, ἢν δ' ὕστερον ἐπιφαίνηται, μηκύνει· καὶ

οὖρα καὶ ἀποχωρήματα, καὶ ἱδρῶτες, καὶ εὔκριτα καὶ δύσκριτα, καὶ βραχέα καὶ μακρὰ τὰ νοσήματα ἐπιφαινόμενα δηλοῖ.

Γέροντες εὐφορώτατα νηστείην φέρουσι, δεύτερον οἱ καθεστηκότες, ἥκιστα τὰ μειράκια, πάντων δὲ μάλιστα παιδία· τουτέων δὲ αὐτέων, ἃ ἂν τύχῃ αὐτὰ ἑωυτῶν προθυμότερα ἐόντα.

Τὰ αὐξανόμενα τὸ θερμὸν ἔχει πλεῖστον τὸ ἔμφυτον· πλείστης οὖν δεῖται τροφῆς. ἢν δὲ μὴ, τὸ σῶμα ἀναλίσκεται. γέρουσι δὲ ὀλίγον τὸ θερμόν· διὰ τοῦτο ἄρα ὀλίγων ὑπεκκαυμάτων δέονται· ἀπὸ πολλῶν γὰρ ἀποσβέννυ-

reat, producit. Et vrinæ, & alui excrementa, & sudores, quæcunq; apparuerĩt, vel bonã morborũ iudicationẽ, vel malam, vel breues, aut lõgos fore morbos ostendunt.

Senes facilime ieiuniũ ferũt: secundo loco, qui ætatem cõsistẽtẽ habẽt: min⁹ adolescentes: omniũ minimè pueri, præsertim qui inter ipsos sunt viuidiores.

Qui crescũt plurimũ habẽt calidi innati: plurimo igitur egẽt alimẽto, alioqui corpus absumitur. Senibus verò parum calidi innati inest: paucis ꝓpterea fomitib⁹ egẽt, quia à multis extinguũ-

tur. Hanc etiam ob cauſam febres ſenibus nõ ſimiliter acutæ fiunt: frigidum enim eorũ corpus.

Ventres hyeme & vere natura calidiſſimi ſunt, & ſomni lõgiſsimi: quare per ea tẽpora alimenta copioſiora ſunt exhibenda. Etenĩ tunc calor innatus plurimus eſt: vnde & pluribus egent alimẽtis. indicio ſunt ætates & athletæ.

Vict⁹ humidus febricitantibus omnibus cõfert, maximè verò pueris, & alijs qui tali victu vti cõſueuerunt.

Et quibus ſemel aut bis, & quib⁹ plurá ne an pauciora, particulatim opor-

ται. διὰ τοῦτο καὶ οἱ πυρετοὶ τοῖς γέρουσιν οὐχ ὁμοίως ὀξέες· ψυχρὸν γὰρ τὸ σῶμα.

Αἱ κοιλίαι χειμῶνος καὶ ἦρος θερμόταται φύσει, καὶ ὕπνοι μακρότατοι· ἐν ταύτῃσι οὖν τῇσι ὥρῃσι καὶ τὰ προσάρματα πλείω δοτέον· καὶ γὰρ τὸ ἔμφυτον θερμὸν πολύ. τροφῆς οὖν πλείονος δέονται. σημεῖον, αἱ ἡλικίαι καὶ οἱ ἀθληταί.

Αἱ ὑγραὶ δίαιται πᾶσι τοῖσι πυρεταίνουσι ξυμφέρουσι, μάλιστα δὲ παιδίοισι, καὶ τοῖσιν ἄλλοισι τοῖσιν οὕτως εἰθισμένοισι διαιτᾶσθαι.

Καὶ οἷσιν ἅπαξ ἢ δὶς, ἢ πλείω, ἢ ἐλάσσω,

ἢ κατὰ μέρος. δοτέον δέ τι καὶ τῇ ὥρῃ, καὶ τῇ χώρῃ, καὶ τῇ ἡλικίῃ, καὶ τῷ ἔθει.

Θέρεος καὶ φθινοπώρου σιτία δυσφορώτατα φέρουσι· χειμῶνος δὲ, ῥήϊστα· ἦρος δὲ δεύτερον.

Τοῖσιν ἐν τῇσι περιόδοισι παροξυνομένοισι μηδὲν διδόναι, μηδ' ἀναγκάζειν, ἀλλ' ἀφαιρεῖν τῶν προσθεσίων πρὸ τῶν κρισίων.

Τὰ κρινόμενα καὶ κεκριμένα ἀρτίως, μὴ κινέειν, μηδὲ νεωτεροποιέειν, μήτε φαρμακίῃσι, μήτ' ἄλλοισιν ἐρεθισμοῖσιν, ἀλλ' ἐᾶν.

Α δεῖ ἄγειν, ὅκου ἂν μάλιστα ῥέπῃ ἡ φύσις, διὰ τῶν ξυμφερόντων χωρίων ταύτῃ ἄγειν.

teat afferre, cõsiderandum. Condonãdũ autẽ aliquid tẽpori, & regioni, & ętati, et cõsuetudini.

AEstate, & autũno cibos difficillimè ferunt: hyeme, facillimè: secundum locum ver habet.

His qui per circuitus accessionem habẽt, nihil dare oportet, neq; cogere, sed subtrahere adiectioni ãte iudicationes.

Quæ iudicantur, & iudicata sunt integre, neq; mouere, neq; nouare aliquid, siue medicamentis, siue aliter iritando, sed sinere.

Quę ducere oportet, quò maxime natura vergit, per loca cõferẽtia eò ducere.

Cõcocta medicari, atq; mouere, non cruda, nec in prĩcipijs, modò non turgeant: plurima verò non turgent.

Πέπονα φαρμακεύειν, καὶ κινέειν, μὴ ὠμὰ, μηδὲ ἐν ἀρχῇσιν, ἢν μὴ ὀργᾷ· τὰ δὲ πλεῖστα οὐκ ὀργᾷ.

Deiectiones non multitudine sunt ęstimãdę, sed si talia deijciãtur qualia cõueniũt, & ægri facilè tolerant. Atq; vbi vsq; ad animi defectioné expedit ducere, faciendum, si æger posſit tolerare.

Τὰ χωρέοντα, μὴ τῷ πλήθει τεκμαίρεσθαι, ἀλλ' ὡς ἂν χωρέῃ οἷα δεῖ, καὶ φέρει εὐφόρως· καὶ ὅκου δεῖ ἄχρι λειποθυμίης ἄγειν, καὶ τοῦτο ποιέειν, ἢν ἐξαρκέσῃ ὁ νοσέων.

In acutis morbis rarò, & in principijs medicinis purgantibus vti, & hoc cum præmeditatione faciendum.

Ἐν τοῖσιν ὀξέσι πάθεσιν ὀλιγάκις, καὶ ἐν ἀρχῇσι, τῇσι φαρμακείῃσι χρέεσθαι, καὶ τοῦτο προεξευκρινήσαντας ποιέειν.

Si qualia oportet purgari, purgentur, confert, & facilè ferunt: si contrà, difficulter.

Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, ξυμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δ' ἐναντία, δυσχερῶς.

## ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ.

Ἐν ᾧ νοσήματι ὕπνος πόνον ποιέει, θανάσιμον· ἢν δὲ ὕπνος ὠφελέῃ, οὐ θανάσιμον.

Οκου παραφροσύνην ὕπνος παύῃ, ἀγαθόν.

Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα κακόν.

Οὐ πλησμονὴ, οὐ λιμὸς, οὐδ' οὐδὲν ἄλλο ἀγαθὸν, ὅτι ἂν μᾶλλον τῆς φύσιος ᾖ.

Κόποι αὐτόματοι, φράζουσι νούσους.

Οκόσοι πονέοντές τι τοῦ σώματος τὰ πολλὰ τῶν πόνων μὴ αἰσθάνονται, τουτέοισιν ἡ γνώμη νοσέει.

Τὰ ἐν πολλῷ χρόνῳ λεπτυνόμενα σώ-

## SECTIO SECVNDA.

IN quo morbo ſomnus laborē facit, mortale: ſi verò iuuat, nō mortale.

Vbi ſomnus delirium ſedat, bonum.

Somnꝰ atq; vigilia, vtraq; ſi modū exceſſerint, malū.

Nō ſatietas, nō fames, neq; aliud quic quā quod modū naturæ exceſſerit.

Spōtaneę laſsitudines, morbos prænuntiant.

Quicunque dolētes parte aliqua corporis, omnino dolorem nō ſentiunt, his mens ægrotat.

Quæ lōgo tempore extenuātur cor-

pora, lentè reficere oportet: quæ verò breui, breuiter.

Si à morbo cibũ assumens quis non corroboratur, pluri alimẽto corpus vti significatur: quod si non assumente cibum hoc accidat, scire oportet id indigere vacuatione.

Corpora cũ quispiam purgare voluerit, oportet fluida facere.

Non pura corpora quantò plus nutries, tanto magis lædes.

Facilius est refici potu, quàm cibis.

Quæ relinquuntur in morbis post iudicationem, recidiuas facere consueuerunt.

ματα, νωθρῶς ἐπαναφέρειν δεῖ· τὰ δὲ ἐν ὀλίγῳ, ὀλίγως.

Ην ἐκ νόσου τροφὴν λαμβαίνων τις μὴ ἰσχύῃ, σημαίνει ὅτι τὸ σῶμα πλείονι τροφῇ χρέεται· ἢν δὲ τροφὴν μὴ λαμβάνοντος, τοῦτο γίγνηται, χρὴ εἰδέναι ὅτι κενώσιος δεῖται.

Τὰ σώματα χρὴ ὅκου ἄν τις βούληται καθαίρειν, εὔροα ποιέειν.

Τὰ μὴ καθαρὰ τῶν σωμάτων, ὁκόσον ἂν θρέψῃς, μᾶλλον βλάψεις.

Ῥᾷον πληροῦσθαι ποτοῦ, ἢ σιτίων.

Τὰ ἐγκαταλιμπανόμενα ἐν τῇσι νούσοισιν μετὰ κρίσιν, ὑποστροφὰς ποιέειν εἴωθε.

Ὁκόσοισι κρίσις γίνεται, τουτέοισιν ἡ νὺξ δύσφορος ἡ πρὸ τοῦ παροξυσμοῦ· ἡ δ' ἐπιοῦσα εὐφορωτέρη ὡς ἐπὶ τὸ πολύ.

Quibuscũque crisis, id est iudicatio fit, his nox grauis ante accessionem: quæ verò subsequitur, magna ex parte leuior existit.

Ἐν τῇσι τῆς κοιλίης ῥύσεσιν αἱ μεταβολαὶ τῶν διαχωρημάτων ὠφελέουσιν, ἢν μὴ ἐς τὰ πονηρὰ μεταβάλλῃ.

In profluuijs alui mutationes excrementorum iuuant, nisi ad mala mutatio fiat.

Ὁκοῦ φάρυγξ νοσέει, ἢ φύματα ἐν τῷ σώματι ἐκφύεται, σκέπτεσθαι χρὴ τὰς ἐκκρίσιας· ἢν γὰρ χολώδεες ἔωσι, τὸ σῶμα ξυννοσέει· ἢν δὲ ὅμοιαι τοῖς ὑγιαίνουσι γίγνωνται, ἀσφαλὲς τὸ σῶμα τρέφειν.

Vbi fauces egrotant, aut tubercula enascũtur in corpore, excretiones inspicere oportet. Nã si biliosæ fuerint, corpus vnà ægrotat: si verò similes sanis, tutũ est corpus nutrire.

Ὁκοῦ λιμὸς, οὐ δεῖ πονέειν.

Vbi fames, laborandum non est.

Ὁκοῦ ἂν τροφὴ παρὰ φύσιν πλέων εἰσέλθῃ, τοῦτο νοῦσον ποι-

Vbi cib⁹ præter naturam plus ingestus est, hic morbum fa-

cit: quod oſtendit ſanatio.

Eorum quæ conſertim & velociter nutriũt, velocesquoq; fiũt excretiones.

Acutorũ morborũ nõ omnino ſunt certæ prædictiones aut mortis, aut ſalutis.

Quibus adhuc iuuenibus, aluus humecta eſt, ijs ſeneſcentibus exiccatur: quibus verò iuuenibus adhuc aluus ſicca eſt, ijs ſeneſcentibus humectatur.

Famem vini potio ſoluit.

Quicunq; morbi ex repletione fiunt, vacuatio curat: & quicunq; ex vacuatione, repletio: & ex alijs, contrarietas.

ἔα· δηλοῖ δὲ καὶ ἡ ἴησις.

Τῶν τρεφόντων ἀθρόως καὶ ταχέως, ταχεῖαι καὶ αἱ διαχωρήσιες γίγνονται.

Τῶν ὀξέων νοσημάτων οὐ πάμπαν ἀσφαλέες αἱ προδιαγορεύσιες, οὔτε τοῦ θανάτου, οὔτε τῆς ὑγείης.

Ὁκόσοισι νέοισι ἐοῦσιν, αἱ κοιλίαι ὑγραί εἰσι, τουτέοισιν ἀπογηράσκουσι ξηραίνονται· ὁκόσοισι δὲ νέοισιν ἐοῦσιν, αἱ κοιλίαι ξηραί εἰσι, τουτέοισι πρεσβυτέροισι γινομένοισιν ὑγραίνονται.

Λιμὸν θώρηξις λύει.

Ἀπὸ πλησμονῆς μόνης ὁκόσα ἂν νοσήματα γένηται, κένωσις ἰῆται· καὶ ὁκόσα ἀπὸ κενώσιος, πλησμονή· καὶ τῶν ἄλλων ἡ ὑπεναντίωσις.

Τὰ ὀξέα τῶν νοσημάτων κρίνεται ἐν ταῖς τεσσαρεσκαίδεκα ἡμέρῃσι.

Acuti morbi in quatuordecim diebus iudicantur.

Τῶν ἑπτὰ ἡ τετάρτη ἐπίδηλος. ἑτέρης ἑβδομάδος ἡ ὀγδόη ἀρχή. θεωρητὴ δὲ ἡ ἑνδεκάτη· αὕτη γὰρ ἐστὶ τετάρτη τῆς ἑτέρης ἑβδομάδος. θεωρητὴ δὲ πάλιν ἡ ἑπτακαιδεκάτη, αὕτη γὰρ ἐστὶ τετάρτη μὲν ἀπὸ τῆς τεσσαρεσκαιδεκάτης, ἑβδόμη δὲ ἀπὸ τῆς ἑνδεκάτης.

Septenorum, quartus est index. Alterius septimanæ octauus principium. Est autem & vndecimus contemplabilis. Ipse enim quartus est alterius septimanæ. Rursus verò & decimusseptimus cōtēplabilis. ipse siquidē est quartus, à quartodecimo: septimus verò, ab vndecimo.

Οἱ θερινοὶ τεταρταῖοι, τὰ πολλὰ γίνονται βραχέες· οἱ δὲ φθινοπωρινοὶ, μακροὶ, καὶ μάλιστα οἱ πρὸς τὸν χειμῶνα συνάπτοντες.

AEstiuæ quartanę magna ex parte breues: autumnales, longæ, & maximè quæ hyemem attingunt.

Πυρετὸν ὑπὸ σπασμοῦ βέλτιον γενέσθαι, ἢ σπασμὸν ὑπὸ πυρετοῦ.

Febrem conuulsioni superuenire melius est, quàm febri conuulsionem.

Hís quæ nõ ex ratione leuius accidunt, non oportet ſidere, neque multũ formidare mala quæ præter rationẽ eueniunt. Plurima enim talia ſtabilia nõ ſunt, neque multum durare, & permanere cõſueuêre.

Febricitantiũ nõ omnino leuiter permanere corpus, & nihil minui, vel etiã plus quàm ratio poſtulat, contabeſcere, malum. illud enĩ morbi longitudinem, hoc vero imbecillitatẽ ſignificat.

Quum morbi inchoãt, ſi quid mouẽdum videtur, moue: quum verò cõſiſtũt ac vigẽt, melius eſt quietem habere.

Τοῖσι μὴ κατὰ λόγον κουφίζουσιν οὐ δεῖ πιστεύειν, οὐδὲ φοβεῖσθαι λίην τὰ μοχθηρὰ γινόμενα παραλόγως· τὰ γὰρ πολλὰ τῶν τοιούτων ἐστὶν ἀβέβαια, καὶ οὐ πάνυ τι διαμένειν, οὐδὲ χρονίζειν εἴωθε.

Τῶν πυρεσσόντων μὴ παντάπασιν ἐπιπολαίως τὸ διαμένειν καὶ μηδὲν ἐνδιδόναι τὸ σῶμα ἢ καὶ συντήκεσθαι μᾶλλον τοῦ κατὰ λόγον, μοχθηρόν. τὸ μὲν γὰρ μῆκος νούσου σημαίνει, τὸ δὲ ἀσθένειαν.

Ἀρχομένων τῶν νούσων, ἤν τι δοκέῃ κινεῖν, κίνει· ἀκμαζουσῶν δὲ, ἡσυχίην ἔχειν βέλτιόν ἐστιν.

Περὶ τὰς ἀρχὰς καὶ τὰ τέλη, πάντα ἀσθενέστερα· περὶ δὲ τὰς ἀκμὰς, ἰσχυρότερα.

Τῷ εὐσιτέοντι ἐξ ἀῤῥωστίης, μηδὲν ἐπιδιδόναι τὸ σῶμα, μοχθηρόν.

Ὡς τὰ πολλὰ πάντες οἱ φαύλως ἔχοντες, κατ' ἀρχὰς μὲν εὐσιτέοντες, καὶ μηδὲν ἐπιδιδόντες, πρὸς τῷ τέλει πάλιν ἀσιτέουσιν· οἱ δὲ κατ' ἀρχὰς μὲν ἀσιτέοντες ἰσχυρῶς, ὕστερον δὲ εὐσιτέοντες βέλτιον ἀπαλλάσσουσιν.

Ἐν πάσῃ νούσῳ τὸ ἐῤῥῶσθαι τὴν διάνοιαν, καὶ εὖ ἔχειν πρὸς τὰς προσφορὰς, ἀγαθὸν, τὸ δ' ἐναντίον κακόν.

Ἐν τῇσι νούσοισιν, ἧσσον κινδυνεύουσιν

Circa initia & fines, omnia imbecilliora: quũ verò cõſiſtunt, fortiora.

Eiꝰ qui in ęgritudine bene cibatur, nihil proficere corpꝰ, malum.

Omnes ferè qui malè ſe habẽt circa initia bene cibati, neq; quicquam proficiẽtes, circa finem rurſus cibum nõ appetũt: qui verò circa initia cibũ valde nõ appetunt, poſtea bene appetentes, ii melius euadunt.

In quouis morbo mente cõſtare, & bene ſe habere ad illa quæ offeruntur, bonum: contra verò ſe habere, malum.

In morbis minus periclitantur,

quorum naturę, aut ætati, aut habitui, aut tempori magis cōgruit morbus, q̃ quibus ſecundū nihil iſtorū congruit.

οἷσιν ἂν οἰκείη τῆς φύσιος, καὶ τῆς ἡλικίης, καὶ τῆς ἕξιος, καὶ τῆς ὥρης ἡ νοῦσος ᾖ μᾶλλον, ἢ οἷσιν ἂν μὴ οἰκείη κατά τι τουτέων.

In quouis morbo partes ad vmbilicū & imū vētrem attinētes, craſsitudinē habere melius eſt: multum verò extenuari, ac contabeſcere, prauum. Sed & hoc quoque ad inferiores purgationes periculoſum,

Ἐν πάσῃσι τῇσι νούσοισι, τὰ περὶ τὸν ὀμφαλὸν καὶ τὸ ἦτρον πάχος ἔχειν, βέλτιόν ἐστι· τὸ δὲ σφόδρα λεπτὸν καὶ ἐκτετηκὸς, μοχθηρόν. ἐπισφαλὲς δὲ τὸ τοιοῦτον καὶ πρὸς τὰς κάτω καθάρσιας.

Qui ſalubritatē corporis habent, per medicamēta euacuati, citò exoluuntur, & qui prauo vtūtur cibo.

Οἱ ὑγιεινῶς ἔχοντες τὰ σώματα, ἐν τῇσι φαρμακίῃσι καθαιρόμενοι, ἐκλύονται ταχέως, καὶ οἱ πονηρῇ τροφῇ χρεόμενοι.

Qui bene ſe habent corpore, difficulter ferunt medicationes.

Οἱ εὖ τὰ σώματα ἔχοντες, φαρμακεύεσθαι ἐργώδεες.

Τὸ σμικρῷ χεῖρον καὶ πόμα καὶ σιτίον, ἥδιον δὲ τῶν βελτιόνων μὲν, ἀηδεστέρων δὲ, μᾶλλον αἱρετέον.

Paulo deterior potꝰ aut cibꝰ, ſuauior autē, melioribꝰ quidē, ſed minꝰ ſuauibus, eſt pręferēdus.

Οἱ πρεσβῦται τῶν νέων τὰ μὲν πολλὰ νοσέουσιν ἧσσον. ὁκόσα δὲ αὐτέοισι χρόνια νουσήματα γίνεται, τὰ πολλὰ ξυναποθνήσκει.

Seniores iuuenibus plurimùm ęgrotant minus. Qui verò morbi ipſis accidunt longi, maxima ex parte comitantur ad mortem.

Βράγχοι καὶ κόρυζαι τοῖσι σφόδρα πρεσβύτῃσιν οὐ πεπαίνονται.

Raucedines, & grauedines in valde ſenibus coctionem nō admittunt.

Οἱ ἐκλυόμενοι πολλάκις καὶ ἰσχυρῶς ἄνευ φανερῆς προφάσιος, ἐξαπίνης τελευτῶσι.

Qui frequēter ac vehemēter abſque cauſa manifeſta exoluuntur derepēte moriuntur.

Λύειν ἀποπληξίην, ἰσχυρὴν μὲν ἀδύνατον, ἀσθενέα δὲ οὐ ῥηΐδιον.

Soluere morbum quē apoplexiam vocant, fortem, impoſſibile: debilem verò, non facile.

Τῶν ἀπαγχομένων καὶ καταλυομένων

Strangulati atque diſſoluti, at

nōdum mortui, nō referūtur quib⁹ spuma circa os fuerit.

Qui natura admodum crassi sunt, citius intereunt q̄ qui graciles

Quicūque iuuenes morbo comitiali laborāt mutatione maximè ætatis, & temporum, & locorum, & victuum quoque liberātur.

Duobus doloribus simul nō eundē locum infestantib⁹ vehementior alterum obscurat.

Dum pus conficitur, dolores ac febres accidunt magis quàm iam confecto.

In omni corporis motu vbi laborare cœperit, quies statī

νων, μηδέπω δὲ τεθνηκότων οὐκ ἀναφέρουσιν, οἷσιν ἂν ἀφρὸς ᾖ περὶ τὸ στόμα.

Οἱ παχέες σφόδρα κατὰ φύσιν ταχυθάνατοι γίνονται, μᾶλλον τῶν ἰσχνῶν.

Τῶν ἐπιληπτικῶν τοῖσι νέοισιν ἀπαλλαγὴν, αἱ μεταβολαὶ μάλιστα τῆς ἡλικίης, καὶ τῶν ὡρέων, καὶ τῶν τόπων, καὶ τῶν βίων ποιέουσι.

Δύο πόνων ἅμα γινομένων μὴ κατὰ τὸν αὐτὸν τόπον, ὁ σφοδρότερος ἀμαυροῖ τὸν ἕτερον.

Περὶ τὰς γενέσιας τοῦ πύου οἱ πόνοι καὶ οἱ πυρετοὶ συμβαίνουσι, μᾶλλον ἢ γενομένου.

Ἐν πάσῃ κινήσει τοῦ σώματος, ὁκόταν ἄρχηται πονέειν, τὸ δια-

καταπαύειν εὐθὺς ἄκοπον.

Οἱ εἰθισμένοι τοὺς συνήθεας πόνους φέρειν, κἂν ὦσιν ἀσθενέες ἢ γέροντες, τῶν ἀσυνήθων, ἰσχυρῶν τε, καὶ νέων ῥᾷον φέρουσι.

Τὰ ἐκ πολλοῦ χρόνου συνήθεα κἂν ᾖ χείρω, τῶν ἀσυνήθων ἧσσον ἐνοχλεῖν εἴωθε. δεῖ οὖν καὶ ἐς τὰ ἀσυνήθεα μεταβάλλειν.

Τὸ κατὰ πολὺ καὶ ἐξαπίνης κενοῦν, ἢ πληροῦν, ἢ θερμαίνειν, ἢ ψύχειν, ἢ ἄλλως ὁκωσοῦν τὸ σῶμα κινεῖν, σφαλερόν· καὶ γὰρ πᾶν τὸ πολὺ τῇ φύσει πολέμιον. τὸ δὲ κατ' ὀλίγον, ἀσφαλὲς, καὶ ἄλλως, ἤν τις ἐξ ἑτέρου ἐφ' ἕτερον μεταβαίνῃ.

laſsitudinẽ aufert.

Qui cõſueti ſolitos labores ferre, et ſi fuerint imbecilles & ſenes, nõ cõſuetis, fortibꝰ, atq; iuuenibus facilius ferunt.

Quæ ex lõgo tẽpore cõſueta ſunt, etſi deteriora ſunt, inſuetis minꝰ moleſtare ſolẽt. Oportet igitur ad inſueta permutari.

Plurimum atque repetè euacuare, vel replere, vel calefacere, vel refrigerare, ſiue quouis alio modo corpus mouere, periculoſum: quoniã omne nimiũ eſt naturæ inimicũ: ſed quod paulatĩ fit tutũ eſt, tũ aliàs, tũ quum ab altero ad alterũ tranſitus fit.

Omnia ſecundũ rationem facienti, ſi non ſuccedat ſecũdũ rationem, nõ eſt tranſeundũ ad aliud, ſtãte eo quod à principio viſũ eſt.

Πάντα κατὰ λόγον ποιέοντι, μὴ γινομένων τῶν κατὰ λόγον, μὴ μεταβαίνειν ἐφ᾽ ἕτερον, μένοντος τοῦ δόξαντος ἐξ ἀρχῆς.

Quicunque aluos humidas habent, ſiquidem iuuenes fuerint, melius commutant his qui ſiccas habent: ad ſenectam verò deterius commutãt. nam ſeneſcentibus magna ex parte exiccãtur.

Ὁκόσοι τὰς κοιλίας ὑγρὰς ἔχουσι, νέοι μὲν ὄντες, βέλτιον ἀπαλλάσσουσι, τῶν τὰς ξηρὰς ἐχόντων· ἐς δὲ τὸ γῆρας, χεῖρον ἀπαλλάσσουσι· ξηραίνονται γὰρ ὡς ἐπιπολὺ τοῖσιν ἀπογηράσκουσι.

Magnitudo corporis iuuentę quidem nec indecens, neque illiberalis: ſenectæ verò inutilis, deterior paruitate.

Μεγέθει δὲ σώματος, ἐνεᾶσαι μὲν, ἐλευθέριον καὶ οὐκ ἀειδές· ἐγγηρᾶσαι δὲ, δύσχρηστον, καὶ χεῖρον τῶν ἐλασσόνων.

## ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

Αἱ μεταβολαὶ τῶν ὡρέων μάλιστα τίκτουσι τὰ νουσήματα· καὶ ἐν τῇσιν ὥρῃσιν αἱ μεγάλαι μεταβολαὶ ἢ ψύξιος, ἢ θάλψιος, καὶ τὰ ἄλλα κατὰ λόγον οὕτως.

Τῶν φυσίων, αἱ μὲν πρὸς θέρος, αἱ δὲ πρὸς χειμῶνα εὖ ἢ κακῶς πεφύκασι.

Τῶν νούσων ἄλλαι πρὸς ἄλλας εὖ ἢ κακῶς πεφύκασι· καὶ ἡλικίαι τινὲς πρὸς ὥρας, καὶ χώρας, καὶ διαίτας.

Ἐν τῇσιν ὥρῃσιν ὅταν τῆς αὐτῆς ἡμέρης, ὁτὲ μὲν θάλπος, ὁτὲ δὲ ψῦχος γίγνηται, φθινοπωρινὰ τὰ νουσήματα προσδέχεσθαι χρή.

## SECTIO TERTIA.

MVTAtiones tẽporũ potiſsimũ pariũt morbos: & in quibuſdam tẽporibus magnæ mutationes, aut frigoris. aut caloris, & alia pro ratione eodem modo.

Naturarum, hæ quidẽ ad æſtatẽ, hæ verò ad hyemẽ bene maléve ſe habẽt.

Morbi quoq; alij ad alia bene vel male ſe habent: & quędam ętates ad tempora, & loca, & victus genera.

In tẽporibus quãdo eodẽ die modò calor, modò frigus fit, autũnales morbi expectandi ſunt.

Auſtri auditum hebetãtes, caligino ſi, caput grauantes, pigri, diſſoluentes. quando huiuſcemodi tempeſtas præualuerit, talia in morbis patiuntur. At ſi aquilonia fuerit, tuſſes, fauces, alui duræ, difficultates vrinæ, horrores, coſtarum dolores, & pectoris. quando hæc tempeſtas præualuerit, talia in morbis expectare oportet.

Νότοι βαρήκοοι, ἀχλυώδεες, καρηβαρικοὶ, νωθροὶ, διαλυτικοί. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι πάσχουσιν. ἢν δὲ βόρειον ᾖ, βῆχες, φάρυγγες, κοιλίαι σκληραὶ. δυσουρίαι, φρικώδεες, ὀδύναι πλευρέων, στηθέων. ὁκόταν οὗτος δυναστεύῃ, τοιαῦτα ἐν τῇσιν ἀῤῥωστίῃσι προσδέχεσθαι χρή.

Quãdo æſtas fit veri ſimilis, ſudores in febribus multos expectare oportet.

Ὁκόταν θέρος γένηται ἦρι ὅμοιον, ἱδρῶτας ἐν τοῖσι πυρετοῖσι πολλοὺς προσδέχεσθαι χρή.

In ſiccitatibus febres acutæ fiunt: & ſi annus magna ex parte talis fuerit, qualem fecerit cõ-

Ἐν τοῖσιν αὐχμοῖσι πυρετοὶ ὀξέες γίγνονται. καὶ ἢν μὲν ἐπιπλέον ᾖ τὸ ἔτος τοιοῦτον ἐὸν, ὁκοίην τὴν κατάστασιν ἐποί-

νέσιν, ὡς ἐπὶ τὸ πολὺ καὶ τὰ νοσήματα τοιαῦτα δεῖ προσδέχεσθαι.

ſtitutionem, tales plurimum morbos oportet expectare.

Ἐν τοῖσι καθεστῶσι καιροῖσιν, ἢν ὡραίως τὰ ὡραῖα ἀποδιδῶσιν, εὐσταθέες καὶ εὔκρινέες αἱ νοῦσοι γίνονται· ἐν δὲ τοῖσιν ἀκαταστάτοισιν, ἀκατάστατοι καὶ δύσκριτοι.

In cõſtantibus tẽporib⁹, quum tẽpeſtiue tẽpeſtiua redduntur, morbi conſtantes, & boni iudicij fiunt: in inconſtantibus autem, inconſtantes, & mali iudicij.

Ἐν φθινοπώρῳ ὀξύταται αἱ νοῦσοι, καὶ θανατωδέσταται ὡς ἐπὶ πᾶν. ἦρ δὲ ὑγιεινότατον, καὶ ἥκιστα θανατῶδες.

Autumno morbi acutiſsimi, atque exitiales maxima ex parte. Ver verò ſaluberrimum, & minime exitiale.

Τὸ φθινόπωρον τοῖσι φθίνουσι κακόν.

Autumnus tabidis malus.

Περὶ δὲ τῶν ὡρέων, ἢν μὲν ὁ χειμὼν αὐχμηρὸς καὶ βόρειος γένηται, τὸ δὲ ἔαρ ἔπομβρον καὶ νότιον, ἀνάγκη τοῦ θέρεος πυρετοὺς ὀξέας, καὶ ὀφθαλμίας,

De tẽporibus, ſiquidẽ hyems ſicca, & aquilonia fuerit, ver verò pluuioſũ, & auſtrale, neceſſe eſt ęſtate febres acutas, & lippitudines,

& intestinorum difficultates fieri, præcipuè verò mulieribus, et viris qui natura sunt humidiores.

Si verò hyems australis, & pluuiosa, & serena fuerit: ver autem siccum, & aquilonium, mulieres, quibus partus in ver incidit, ex quacunque occasione abortiunt: quæ verò pariẽt, imbecilles, & morbidos infantes pariũt: quare vel statim intereũt, vel tenues & valetudinarij viuũt. Cæteris verò mortalibus difficultates intestinorũ, et lippitudines siccę fiũt: seniorib9 autẽ distillationes quæ citò interiment.

Si verò æstas sic-

καὶ δυσεντερίας γίγνεσθαι, μάλιστα δὲ τῇσι γυναιξὶ, καὶ ἀνδράσι τοῖσιν ὑγρὰς ἔχουσι τὰς φύσιας.

Ην δὲ νότιος ὁ χειμὼν, καὶ ἔπομβρος, καὶ εὔδιος γένηται· τὸ δὲ ἔαρ αὐχμηρὸν, καὶ βόρειον, αἱ μὲν γυναῖκες ἦσιν οἱ τόκοι πρὸς τὸ ἔαρ, ἐκ πάσης προφάσιος ἐκτιτρώσκουσιν· αἳ δ' ἂν τέκωσιν, ἀκρατέα καὶ νοσώδεα τὰ παιδία τίκτουσιν· ὥστε ἢ παραυτίκα ἀπόλλυσθαι, ἢ λεπτὰ καὶ νοσώδεα ζῆν ἐόντα. τοῖσι δὲ ἄλλοισι δυσεντερίαι καὶ ὀφθαλμίαι ξηραὶ γίνονται· τοῖσι δὲ πρεσβυτέροισι κατάῤῥοι συντόμως ἀπολλύντες.

Ην δὲ τὸ θέρος αὐ

χμηρὸν καὶ βόρειον γένηται, τὸ δὲ φθινόπωρον ἔπομβρον καὶ νότιον, κεφαλαλγίαι ἐς τὸν χειμῶνα γίνονται, καὶ βῆχες, καὶ βράγχοι καὶ κόρυζαι· ἐνίοισι δὲ καὶ φθίσιες.

ca fuerit, & aquilonia, autumnus verò pluuiosus, & australis, dolores capitis ad hyemem fiũt, tusses, raucedines, atque grauedines: quibusdam autem & tabes.

Ἢν δὲ βόρειον ᾖ καὶ ἄνυδρον, τοῖσι μὲν ὑγροῖσιν ἐοῦσι τὰς φύσιας, καὶ τῇσι γυναιξὶ ξύμφορον· τοῖσι δὲ λοιποῖσιν ὀφθαλμίαι ἔσονται ξηραὶ, καὶ πυρετοὶ ὀξέες, καὶ κόρυζαι χρόνιαι· ἐνίοισι δὲ μελαγχολίαι.

Si verò aquilonius sit & siccus, his qui natura sunt humidiore, & mulieribus cõferet: reliquis autẽ erunt lippitudines siccę, et febres acutæ, & grauedines diuturnæ: nõnullis & atræ biles.

Τῶν δὲ καταστασίων τοῦ ἐνιαυτοῦ, τὸ μὲν ὅλον, οἱ αὐχμοὶ τῶν ἐπομβριῶν εἰσὶν ὑγιεινότεροι, καὶ ἧσσον θανατώδεες.

Ex anni autẽ cõstitutionibus, quod in totum dixerim, siccitates imbribus sunt salubriores & minus mortiferæ.

Νουσήματα δὲ ἐν μὲν τῇσιν ἐπομβρίῃ-

Morbi pluuiarum multitudine,

magna ex parte cō-
febres longæ, alui
profluuia, putredi-
nes, morbi comiti-
ales, & attoniti, &
anginæ. In ſiccitati
bus autem, tabitudi
nes, lippitudines, ar
ticulorum dolores,
ſtillicidia vrinæ, &
difficultates inteſti
norum.

Quotidianæ autē
cōſtitutiones, aqui
loniæ quidem cor-
pora dēſant, confir
mant, & bene mobi
lia, coloratiora, &
melius audientia fa
ciunt, & aluos exic
cant, oculos mor-
dent. & ſi pectus do
lor aliquis obſede-
rit, dolorem augēt.
Auſtrinæ diſſoluūt
corpora & hume-
ctant, capita aggra

σιν ὡς τὰ πολλὰ γί-
νεται, πυρετοί τε μα-
κροὶ, καὶ κοιλίης ῥύ-
σιες, καὶ σηπεδόνες,
καὶ ἐπίληπτοι, καὶ
ἀπόπληκτοι καὶ κυ-
νάγχαι. ἐν δὲ τοῖσιν αὐ-
χμοῖσι, φθινώδεες, ὀ-
φθαλμίαι, ἀρθρίτι-
δες, στραγγουρίαι, καὶ
δυσεντερίαι.

Αἱ δὲ καθ' ἡμέ-
ρην καταστάσιες, αἱ
μὲν βόρειοι τά τε σώ-
ματα ξυνιστῶσι, καὶ
εὔτονα, καὶ εὐκίνη-
τα, καὶ εὔχροα, καὶ
εὐηκοώτερα ποιέου-
σι, καὶ τὰς κοιλίας
ξηραίνουσι, καὶ τὰ ὄμ-
ματα δάκνουσι, καὶ περὶ
τὸν θώρηκα ἄλγημα
ἤν τι προϋπάρχῃ, μᾶλ-
λον πονέουσιν. αἱ δὲ νό-
τιοι διαλύουσι τὰ σώ-
ματα καὶ ὑγραίνουσι,
καὶ καρηβαρίας, καὶ βα-

ρηκοΐας, καὶ ἰλίγγους ἐμποιέουσιν, ἔν τε τοῖσιν ὀφθαλμοῖσι καὶ ἐν τοῖσι σώμασι δυσκινησίην, καὶ τὰς κοιλίας ὑγραίνουσι.

Κατὰ δὲ τὰς ὥρας, τοῦ μὲν ἦρος καὶ ἄκρου τοῦ θέρεος, οἱ παῖδες, καὶ οἱ τουτέων ἐχόμενοι τῇσιν ἡλικίῃσιν, ἄριστά τε διάγουσι, καὶ ὑγιαίνουσι μάλιστα. τοῦ δὲ θέρεος καὶ τοῦ φθινοπώρου, μέχρι μέν τινος οἱ γέροντες· τὸ δὲ λοιπὸν φθινοπώρου καὶ χειμῶνος, οἱ μέσοι τῇσιν ἡλικίῃσι.

Νουσήματα δὲ πάντα μὲν ἐν πάσῃσι τῇσιν ὥρῃσι γίνεται, μᾶλλον δ' ἔνια κατ' ἐνίας αὐτέων καὶ γίνεται καὶ παροξύνεται.

uant, auditum obtundunt, & vertigines faciunt oculis atq; corporibus difficilem motum præstant & aluos humectant.

Per tempora anni, vere quidem & prima æstate pueri, & qui hos sequũtur ætate, optimè degunt, & sani sunt maximé. AEstate verò & autumno aliquò vsque senes, reliquum autumni, & hyemis, qui mediam ætatem habent.

Morbi omnes quidem in omnibus temporibus fiunt, quidam verò magis in quibusdá ipsorum & fiunt & excitantur.

Vere enim furores, & atrę biles, & morbi comitiales, & profluuia sãguinis, & ãginæ, & grauedines, raucedines, leprę, tusses, impetigines, vitiligines, & pustulæ vlcerosæ plurimæ, & tubercula, & articulorũ dolores.

Τοῦ μὲν ἦρος, τὰ μανικὰ, καὶ τὰ μελαγχολικὰ, καὶ τὰ ἐπιληπτικὰ, καὶ αἵματος ῥύσιες, καὶ κυνάγχαι, καὶ κόρυζαι, καὶ βράγχοι, καὶ βῆχες, καὶ λέπραι, καὶ λειχῆνες, καὶ ἀλφοὶ, καὶ ἐξανθήσιες ἑλκώδεες πλεῖσται, καὶ φύματα, καὶ ἀρθριτικά.

AEstate autem nonnulli horum, & febres continuæ, & ardentes, & tertianæ plurimę, & quartanæ, & vomitus, & alui profluuia, & lippitudines oculorũ, & auriũ dolores, & oris vlcerationes, genitalium putredines, & sudamina.

Τοῦ δὲ θέρεος, ἔνιά τε τουτέων, καὶ πυρετοὶ ξυνεχέες, καὶ καῦσοι, καὶ τριταῖοι πλεῖστοι, καὶ τεταρταῖοι, καὶ ἔμετοι, καὶ διάῤῥοιαι, καὶ ὀφθαλμίαι, καὶ ὤτων πόνοι, καὶ στομάτων ἑλκώσιες, καὶ σηπεδόνες αἰδοίων, καὶ ἵδρωα.

Autumno verò, & plurimi æstiui morbi fiunt, & fe-

Τοῦ δὲ φθινοπώρου, καὶ τῶν θερινῶν τὰ πολλὰ, καὶ πυρε-

ρετοὶ τεταρταῖοι, καὶ πλάνητες, καὶ σπλῆνες, καὶ ὕδρωπες, καὶ φθίσιες, καὶ στραγγουρίαι, καὶ λειεντερίαι, καὶ δυσεντερίαι, καὶ ἰσχιάδες, καὶ κυνάγχαι, καὶ ἄσθματα, καὶ εἰλεοί, καὶ ἐπιληψίαι, καὶ τὰ μανικὰ, καὶ τὰ μελαγχολικά.

Τοῦ δὲ χειμῶνος, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, κόρυζαι, βράγχοι, βῆχες, πόνοι στηθέων, καὶ πλευρέων, καὶ ὀσφύος, κεφαλαλγίαι, ἴλιγγοι, ἀποπληξίαι.

Ἐν δὲ τῇσιν ἡλικίῃσι τοιαῦτα συμβαίνει, τοῖσι μὲν σμικροῖσι καὶ νεογνοῖσι παιδίοισιν ἄφθαι, ἔμετοι, βῆχες, ἀγρυ-

bres quartanæ, & erraticæ, lienes, aquę inter cutem, tabes, ſtillicidia vrinæ, lęuitates & difficultates inteſtinorum, coxendicum dolores, & anginæ, & ãhelationes, & ilei, & morbi comitiales, & furores, & atræ biles.

Hyeme verò, morbi laterales, & pulmonis inflammationes, lethargi, grauedines, raucedines, tuſſes, dolores pectoris & laterũ, ac lumborum, capitis dolores, vertigines & apoplexiæ.

In ætatibus autẽ talia contingũt, paruis & nuper natis puerulis, oris vlcera, vomitꝰ, tuſſes, vigi-

liæ, pauores, vmbilici inflammationes, aurium humiditates.

In progressu verò quum iam dentire incipiunt, gingiuarum prurigines, febres conuulsiones, alui profluuia, & maximè quũ caninos edunt dentes, & his presertim pueris, qui crassissimi sunt & aluos duras habent.

Quum verò iã magis adoleuerint, tõsillæ, & vertebræ quæ in occipitio ad interiora luxationes, crebri ãhelitus, calculi, lũbrici rotũdi, ascarides, verrucę, satyrię, strumę, et alia tubercula, sed præcipue antedicta.

πνίαι, φόβοι, ὀμφαλοῦ φλεγμοναί, ὤτων ὑγρότητες.

Πρὸς δὲ τὸ ὀδοντοφυεῖν προσάγουσιν οὔλων ὀδαξισμοί, πυρετοί, σπασμοί, διάρροιαι, καὶ μάλισθ' ὅταν ἀνάγωσι τοὺς κυνόδοντας, καὶ τοῖσι παχυτάτοισι τῶν παιδίων, καὶ τοῖσι τὰς κοιλίας σκληρὰς ἔχουσι.

Πρεσβυτέροισι δὲ γιγνομένοισι παρίσθμια, σπονδύλου τοῦ κατὰ τὸ ἰνίον εἴσω ὤσιες, ἄσθματα, λιθιάσιες, ἕλμινθες στρογγύλαι, ἀσκαρίδες, ἀκροχόρδονες, σατυριασμοί, χοιράδες, καὶ τἆλλα φύματα, μάλιστα δὲ τὰ προειρημένα.

Τοῖ-

Τοῖσι δὲ πρεσβυτέροισι καὶ πρὸς τὴν ἥβην προσάγουσι, τούτων τε τὰ πολλὰ, καὶ πυρετοὶ χρόνιοι μᾶλλον, καὶ αἵματος ῥύσιες ἐκ ῥινῶν.

Grandioribus autē & iā accedētibus ad pubertatē plurima ex his, & febres diuturnæ magis, & ex naribus profluuia ſanguinis.

Τὰ δὲ πλεῖστα τοῖσι παιδίοισι πάθεα κρίνεται· τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δὲ ἐν ἑπτὰ μησὶ, τὰ δὲ ἐν ἑπτὰ ἔτεσι, τὰ δὲ καὶ πρὸς τὴν ἥβην προσάγουσιν. ὅσα δ' ἂν διαμένῃ τοῖσι παιδίοισι πάθεα, καὶ μὴ ἀπολυθῇ περὶ τὸ ἡβάσκειν, ἢ τοῖσι θήλεσι περὶ τὰς τῶν καταμηνίων ῥήξιας χρονίζειν εἴωθε.

Plurimæ autem ægrotaones pueris iudicātur: nonnullę quidē in quadraginta diebus, nonnullæ in ſeptem menſibus, nonnullæ verò in annis ſeptem, quæ verò permanſerint nec in pubertate finierint, puerulis aut fœminis quum menſtrua erūpunt, conſeneſcere conſueuerunt.

Τοῖσι δὲ νεηνίσκοισιν αἵματος ἐπτύσιες, φθίσιες, πυρετοὶ ὀξέες, ἐπιληψίαι. καὶ

Adoleſcentibus autem ſanguinis ſpuitiones, tabes, febres acutæ, morbus comitialis &

alij, sed, precipuè antedicti.

Vltra hanc ætatẽ creber anhelitus, morbi laterales, pulmonis inflammationes, lethargi, phrenetides, ardores, diuturna profluuia, choleræ, difficultates intestinorum, leuitates intestinorum, hæmorrhoides.

Senibus spirandi difficultates, destillationes cum tusse, vrinæ stillicidia, vrinę difficultates, articulorũ dolores renũ pasiones, vertigines, apoplexiæ, mali habit⁹, prurit⁹ toti⁹ corporis, vigiliæ, alui, oculorũ & nariũ humiditates, visus obtusus glaucedines, auditus graues.

τἆλλα νοσήματα, μάλιστα δὲ τὰ προειρημένα.

Τοῖσι δὲ ὑπὲρ τὴν ἡλικίην ταύτην, ἄσθματα, πλευρίτιδες, περιπνευμονίαι, λήθαργοι, φρενίτιδες, καῦσοι, διάῤῥοιαι χρόνιαι, χολέραι, δυσεντερίαι, λειεντερίαι, αἱμοῤῥοΐδες.

Τοῖσι δὲ πρεσβύτῃσι, δύσπνοιαι, κατάῤῥοοι βηχώδεες, στραγγουρίαι, δυσουρίαι, ἄρθρων πόνοι, νεφρίτιδες, ἴλιγγοι, ἀποπληξίαι, καχεξίαι, ξυσμοὶ τοῦ σώματος ὅλου, ἀγρυπνίαι, κοιλίης καὶ ὀφθαλμῶν καὶ ῥινῶν ὑγρότητες, ἀμβλυωπίαι, γλαυκώσιες, βαρηκοΐαι.

ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

SECTIO QVARTA

Τὰς κυούσας φαρμακεύειν ἢν ὀργᾷ, τετράμηνα καὶ ἄχρις ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας. τὰ δὲ νήπια καὶ τὰ πρεσβύτερα εὐλαβέεσθαι χρή.

Vteros gerētes sunt medicandæ, si materia turget, quarto mense, & vsq; ad septimū: sed has minus. Iuniora autē & seniora vereri oportet.

Ἐν τῇσι φαρμακείῃσι τοιαῦτα ἄγειν ἐκ τοῦ σώματος ὁκοῖα καὶ αὐτόματα ἰόντα, χρήσιμα· τὰ δ' ἐναντίως ἰόντα, παύειν.

In medicationib⁹ talia educere è corpore, qualia & spōte prodeuntia, vtilia: quæ verò contrario modo prodeunt, cohibere oportet.

Ἢν οἷα δεῖ καθαίρεσθαι καθαίρωνται, συμφέρει τε καὶ εὐφόρως φέρουσι· τὰ δ' ἐναντία, δυσχερῶς.

Si qualia oportet purgari purgentur, confert, & leuiter ferunt: contraria verò, grauiter.

Φαρμακεύειν, θέρεος μὲν μᾶλλον τὰς ἄνω, χειμῶνος δὲ, τὰς κάτω.

Medicari, æstate superiores magis, hyeme verò inferiores.

Ὑπὸ κύνα, καὶ πρὸ

Sub cane, & ante

cané, difficiles ſunt medicationes.

Graciles & facilè vomentes purgare ſuperiora, cauentes hyemem.

Vomentes verò difficulter, & mediocriter bene carnoſos, per inferiora, cauentes æſtatem.

Tabidos verò, cauentes ad ſuperiores purgationes.

Melancholicos plenius ꝑ inferiora, eadē ratione cōtraria apponentes.

Medicari in valde acutis, ſi materia turget, eadem die. tardare enim in talibus malum eſt.

Quibus tormina & circa vmbilicum labores, & lumborũ

κυνὸς, ἐργώδεες αἱ φαρμακεῖαι.

Τοὺς ἰσχνοὺς καὶ εὐημέας ἄνω φαρμακεύειν, ὑποστελλομένους χειμῶνα.

Τοὺς δὲ δυσημέας καὶ μέσως εὐσάρκους κάτω, ὑποστελλομένους θέρος.

Τοὺς δὲ φθινώδεας, ὑποστελλομένους τὰς ἄνω φαρμακείας.

Τοὺς δὲ μελαγχολικοὺς ἁδροτέρως τὰς κάτω, τῷ αὐτῷ λογισμῷ τὰ ἐναντία προστιθέντες.

Φαρμακεύειν ἐν τοῖσι λίην ὀξεσιν, ἢν ὀργᾷ, αὐθημερόν· χρονίζειν γὰρ κακὸν ἐν τοῖσι τοιούτοισιν.

Ὁκόσοισι στρόφοι καὶ περὶ τὸν ὀμφαλὸν πόνοι, καὶ ὀσφύος

ἄλγημα μὴ λυόμε-
νον μήτε ὑπὸ φαρ-
μακείης, μήτ᾽ ἄλλως
εἰς ὕδρωπα ξηρὸν ἱ-
δρύεται.

Ὁκόσοισι κοιλίαι
λεῖαι περιώδεες χειμῶ-
νος, ἄνω φαρμακεύειν,
κακόν.

Πρὸς τοὺς ἐλλεβό-
ρους τοῖσι μὴ ῥηϊδίως
ἄνω καθαιρομένοισι
πρὸ τῆς πόσιος προϋ-
γραίνειν τὰ σώματα
πλείονι τροφῇ καὶ ἀ-
ναπαύσει.

Ἐπὴν πίῃ τις ἐλλέ-
βορον, πρὸς μὲν τὰς
κινήσιας τῶν σωμά-
των μᾶλλον ἄγειν,
πρὸς δὲ τοὺς ὕπνους
καὶ μὴ κινήσιας, ἧσ-
σον. δηλοῖ δὲ καὶ ἡ
ναυτιλίη, ὅτι κίνη-
σις τὰ σώματα τα-
ράττει.

Ἐπὴν βούλῃ μᾶλ-

dolor, qui neque à
medicamento, neq;
aliter ſoluitur, in a-
quam intercutē ſic-
cam firmatur.

Quorum alui in
teſtinorum læuita-
te laborant, hyber-
no tempore ſupra
purgari, malum.

Ad helleboros
qui non facilè ſuprà
purgantur, eorum
corpora ante potio-
nem pluri cibo, atq;
quiete humectanda
ſunt.

Quū biberit quis
helleborum, ad mo
tiones quidē corpo
rū ducere magis, ad
ſomnos verò atque
quietē minus. Indi-
cat autem nauiga-
tio, turbari motio-
ne corpus.

Quū volueris ma

gis ducere hellebo-rum, moue corpus: quum verò ſiſtere, ſomnum facito, & non moueto.

λον ἄγειν τὸν ἐλλέβορον, κίνει τὸ σῶμα· ἐπὴν δὲ παῦσαι, ὕπνον ποίει, καὶ μὴ κίνει.

Carnes ſanas habētibus, helleborus periculoſus: facit enim conuulſionem.

Ἐλλέβορος ἐπικίνδυνος τοῖσι τὰς σάρκας ὑγιέας ἔχουσι· σπασμὸν γὰρ ἐμποιέει.

Si quis febrem nō habens, abſtinet à cibo, & cordis morſum, ſeu vertiginem patitur, & oris amaritudinē ſentit, purgatione indigere ꝑ ſuperiora ſignificat.

Ἀπυρέτῳ ἐόντι, ἀποσιτίη, καὶ καρδιωγμὸς, καὶ σκοτόδινος, καὶ στόμα ἐκπικρούμενον, ἄνω φαρμακείης δεῖσθαι σημαίνει.

Supra præcordia dolores, purgatione īdigere ꝑ ſuperiora ſignificāt: quicunq; verò inferiora moleſtant, per inferiora.

Τὰ ὑπὲρ τῶν φρενῶν ὀδυνήματα, ἄνω φαρμακείης δεῖσθαι σημαίνει· ὁκόσα δὲ κάτω, κάτω.

Qui in medicamentis purgati, non ſitiunt, non quieſcūt priuſquam ſitiant.

Ὁκόσοι ἐν τῇσι φαρμακοποσίῃσι μὴ διψῶσι καθαιρόμενοι, οὐ παύονται, πρὶν ἢ διψήσωσιν.

Ἀπυρέτοισιν ἐοῦσιν ἢν γίνηται στρόφος, καὶ γονάτων βάρος, καὶ ὀσφύος ἄλγημα, κάτω φαρμακείης δεῖσθαι σημαίνει.

Nõ febricitãtibus si tormina acciderint, & genuũ grauitas, & lũborũ dolor, purgari inferiꝰ oportere significatur.

Ὑποχωρήματα μέλανα, ὁκοῖον αἷμα μέλαν, ἀπὸ ταυτομάτου ἰόντα, καὶ ξὺν πυρετῷ καὶ ἄνευ πυρετοῦ, κάκιστα· καὶ ὁκόσῳ ἂν χρώματα πλείω ᾖ κάκιον. ξὺν φαρμάκῳ δὲ ἄμεινον, καὶ ὅσῳ ἂν πλείω χρώματα, οὐ πονηρά.

Deiectiones nigræ, qualis est sanguis niger, spõte venientes, siue cum febre, siue sine febre, pessimæ: & quanto colores fuerint plures, peius: cum medicamento verò melius, & quanto colores plures nõ praui.

Νοσημάτων ὁκόσων ἀρχομένων ἢν χολὴ μέλαινα, ἢ ἄνω ἢ κάτω ἐπέλθῃ, θανάσιμον.

Morbis quibuslibet ĩcipiẽtibꝰ si atra bilis, vel supra, vel infra exierit, letale.

Ὁκόσοισιν ἐκ νοσημάτων ὀξέων, ἢ πολυχρονίων, ἢ ἐκ τρωμάτων, ἢ ἄλλως λελεπτυσμένοισι, χολὴ μέ-

Quibuscunq; ex morbis acutis, aut diuturnis, vel ex vulneribus, siue quouis alio modo extenuatis, bilis ni-

gra, siue vti sanguis niger de subter exierit, postridie moriũtur.

Difficultas intestinorũ, si ab atra bile incœperit, letalis est.

Sanguis quidem supra, qualiscunque fuerit, malus: infra autẽ, si niger exeat, bonus est.

A difficultate intestinorum vexato, si veluti carunculæ exeant, letale est.

Quibus in febribus sanguinis fluxerit multitudo, quacunq; ex parte, quũ reficiuntur, alui his humectantur.

Quibus biliosæ deiectiones, superueniente surditate cessãt: & quibus surditas, superuenien-

λαινα, ἢ ὁκοῖον αἷμα μέλαν ὑπέλθῃ, τῇ ὑστεραίῃ ἀποθνήσκουσι.

Δυσεντερίη, ἢν ἀπὸ χολῆς μελαίνης ἄρξηται, θανάσιμον.

Αἷμα ἄνω μὲν ὁποῖον ἂν εἴη, κακὸν· κάτω δὲ, ἀγαθὸν μέλαν ὑποχωρέον.

Ἢν ὑπὸ δυσεντερίης ἐχομένῳ ὁκοῖαι ἂν σάρκες ὑποχωρήσωσι, θανάσιμον.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν αἱμοῤῥαγέει πλῆθος ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι, τουτέοισιν αἱ κοιλίαι καθυγραίνονται.

Ὁκόσοισι χολώδεα τὰ διαχωρήματα, κωφώσιος ἐπιγινομένης, παύονται· καὶ ὁκόσοισι κώφωσις, χολωδέων ἐπιγινομέ-

νων παύονται.

tibus bilioſis, ceſsãt.

Οκόσοισι ἐν τοῖσι πυρετοῖσιν ἑκταίοισιν ἐοῦσι ῥίγεα γίνεται, δύσκριτα.

Quibus in febribus ſexto die rigores fiũt, iudicatio difficilis ſequitur.

Οκόσοισι παροξυσμοὶ γίνονται, ἣν ἂν ὥρην ἀφῇ ὁ πυρετὸς, ἐς τὴν αὔριον τὴν αὐτὴν ὥρην ἢν λάβῃ, δύσκριτα.

Quibus acceſsiones fiunt, quacũque hora febris dimiſerit, ſi eadem poſtero die occupauerit, iudicatio difficilis.

Τοῖσι κοπώδεσιν ἐν τοῖσι πυρετοῖσιν, ἐς ἄρθρα καὶ παρὰ τὰς γνάθους μάλιστα αἱ ἀποστάσιες γίνονται.

Qui in febribꝰ laſſitudinẽ ſentiunt, ijs ad articulos, & iuxta maxillas potiſsimũ abſceſſus fiunt.

Οκόσοισι δὲ ἀνισταμένοισιν ἐκ τῶν νούσων τι πονέει, ἐνταῦθα αἱ ἀποστάσιες γίνονται.

Quibus ex morbis cõualeſcentibus pars aliqua laborat, eò abſceſſus fiunt.

Ἀτὰρ ἢν καὶ προπεπονηκός τι ᾖ πρὸ τοῦ νοσέειν, ἐνταῦθα στηρίζει ἡ νοῦσος.

Sed etſi ante morbum pars laborauerit, ibi morbus firmatur.

Ην ὑπὸ πυρετοῦ ἐχομένῳ, οἰδήματος μὴ ἐόντος ἐν τῇ φάρυγγι,

Si febre detento, ſuffocatio repẽtè ſuperuenerit, nullo in

faucibus apparente tumore, letale.

πνὶξ ἐξαίφνης ἐπιγίγνηται, θανάσιμον.

Si febre detento repéte collum peruertitur, ac vix deuorare poteſt, ſine vllo tumore, letale eſt.

Ην ὑπὸ τοῦ πυρετοῦ ἐχομένῳ ὁ τράχηλος ἐξαίφνης ἐπιστραφῇ, καὶ μόγις καταπίνειν δύνηται, οἰδήματος μὴ ἐόντος, θανάσιμον.

Sudores febricitantibus boni, qui manare cœperīt die tertio, quinto, ſeptimo, nono, vndecimo, decimoquarto, decimoſeptimo, viceſimoprimo, viceſimoſeptimo, triceſimoprimo, & triceſimoquarto. ij enim ſudores morbos iudicant. Qui vero non ita fiunt, laborē & morbi longitudinem, aut eiuſdem recidiuam ſignificant.

Ιδρῶτες πυρεταίνουσιν ἢν ἄρξωνται, ἀγαθοὶ τριταῖοι, καὶ πεμπταῖοι, καὶ ἑβδομαῖοι, καὶ ἐνναταῖοι, καὶ ἑνδεκαταῖοι, καὶ τεσσαρεσκαιδεκαταῖοι, καὶ ἑπτακαιδεκαταῖοι, καὶ μιῇ καὶ εἰκοστῇ, καὶ ἑβδόμῃ καὶ εἰκοστῇ, καὶ τριακοστῇ πρώτῃ, καὶ τριακοστῇ τετάρτῃ· οὗτοι γὰρ οἱ ἱδρῶτες νούσους κρίνουσιν. οἱ δὲ μὴ οὕτως γινόμενοι, πόνον σημαίνουσι, καὶ μῆκος νούσου, καὶ ὑποτροπιασμούς.

Οἱ ψυχροὶ ἱδρῶτες ξὺν μὲν ὀξεῖ πυρετῷ γιγνόμενοι θάνατον· ξὺν πρηϊτέρῳ δὲ, μῆκος νόσου σημαίνουσι.

Frigidi sudores, cum febre quidem acuta, mortem: cum mitiori autem, morbi longitudinem significant.

Καὶ ὅκου ἔνι τοῦ σώματος ἱδρὼς, ἐνταῦθα φράζει τὴν νόσον.

Qua corporis parte sudor est, ibi significat morbum.

Καὶ ὅκου ἔνι τοῦ σώματος θερμὸν ἢ ψυχρὸν, ἐνταῦθα ἡ νοῦσος.

Et qua parte corporis inest calor aut frigus, ibi morbus.

Καὶ ὅκου ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ ἢν τὸ σῶμα καταψύχηται, ἢ αὖθις θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου γίνηται, μῆκος νούσου σημαίνει.

Et vbi in toto corpore mutationes, & si corpus refrigeretur, vel vicissim calefiat, vel color alius ex alio oriatur, longitudinem morbi significant.

Ἱδρὼς πολὺς ἐξ ὕπνου ἄνευ τινὸς φανερῆς αἰτίης γινόμενος τῷ σώματι, συ-

Sudor multus ex somno factus absq; aliqua causa manifesta copiosiore cibo corpus vti

ſignificat. Quòd ſi cibum non accipienti hoc accidat, quòd egeat vacuatione ſignificat.

μαίνει ὅτι πλείονι τροφῇ χρέεται. ἢν δὲ τροφὴν μὴ λαμβάνοντι τοῦτο γίγνηται, σημαίνει ὅτι κενώσιος δέεται.

Sudor multus, frigidus calidúsve ſemper fluẽs, frigidus maiorem, calidus minorem morbum ſignificat.

Ἱδρὼς πολὺς ψυχρὸς ἢ θερμὸς αἰεὶ ῥέων, ὁ ψυχρὸς μέζω, ὁ δὲ θερμὸς ἐλάσσω νοῦσον σημαίνει.

Febres quæ nõ ĩtermittentes die tertio vehemẽtius affligũt, periculoſiores: quoquo modo autẽ intermiſerint, periculũ abeſſe ſignificãt.

Οἱ πυρετοὶ ὁκόσοι μὴ διαλείποντες διὰ τρίτης ἰσχυρότεροι γίνονται, μᾶλλον ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

Quibus febres lõgæ, ijs tubercula ad articulos, vel labores fiunt.

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισι φύματα ἐς τὰ ἄρθρα, ἢ πόνοι ἐγγίνονται.

Quibus tubercula ad articulos vel labores à febribus fiũt, ij cibis pluribus vtũtur.

Ὁκόσοισι φύματα ἐς τὰ ἄρθρα ἢ πόνοι ἐκ πυρετῶν γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

Ἢν ῥῖγος ἐμπίπτῃ πυρετῷ μὴ διαλείποντι, ἤδη ἀσθενεῖ ἐόντι, θανάσιμον.

Si rigor incidat febre nō intermittēte in ægrum iam debilem, letale eſt.

Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι μὴ διαλείπουσιν πελιδναὶ, καὶ αἱματώδεες, καὶ δυσώδεες, καὶ χολώδεες, πᾶσαι κακαί· ἀποχωρεῦσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ τὰς διαχωρήσιας, καὶ κατὰ τὰ οὖρα. ἢν δὲ μή τι τῶν συμφερόντων ἐκκρίνηται διὰ τῶν τόπων τούτων, κακόν.

Excreationes in febribus non intermittētibus liuidæ, cruentæ, fœtidæ, bilioſæ, omnes malæ: bene tamen ſi exeant, bonæ, ſiue per alui excreatiorem, ſiue per vrinas bonæ. Si quid verò quod nō iuuet per hæc loca excernatur, malum.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔνδον καίηται καὶ δίψαν ἔχῃ, θανάσιμον.

In febribus nō intermittētibus ſi partes externæ frigidæ, internæ vruntur & ſitiunt, lethale eſt.

Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ὀφρὺς, ἢ ὀφθαλμὸς, ἢ ῥὶς διαστραφῇ, ἢν μὴ βλέπῃ, ἢν μὴ ἀκούῃ,

In febre non intermittente ſi labrum, aut ſupercilium, aut oculus, aut naſus peruertatur, ſi nō videt, ſi non audit, debili

iam corpore, quicquid horum euenerit, in propinquo mors est.

ἤδη ἀσθενέος ἐόντος τοῦ σώματος, ὅ,τι ἂν τουτέων γένηται, ἐγγὺς ὁ θάνατος.

Vbi febre nō intermittente difficultas spirandi & delirium acciderit, letale est.

Ὁκοῦ ἂν ἐν τῷ πυρετῷ μὴ διαλείποντι δύσπνοια γένηται καὶ παραφροσύνη, θανάσιμον.

In febribus abscessus qui ad primas iudicationes nō soluuntur, longitudinem morbi significant.

Ἐν τοῖσι πυρετοῖσιν ἀποστήματα μὴ λυόμενα πρὸς τὰς πρώτας κρίσιας, μῆκος νούσου συμαίνει.

Quibus in febribus vel in alijs morbis sponte illachrymant oculi, nihil absurdum est: quibus verò non sponte, absurdius.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσιν ἢ ἐν τῇσιν ἄλλῃσιν ἀῤῥωστίῃσι κατὰ προαίρεσιν ὀφθαλμοὶ δακρύουσιν, οὐδὲν ἄτοπον· ὁκόσοισι δὲ μὴ κατὰ προαίρεσιν, ἀτοπώτερον.

Quibus in febribus circa dentes lentores quidā nascuntur, ijs vehementiores fiunt febres.

Ὁκόσοισι δὲ ἐπὶ τῶν ὀδόντων ἐν τοῖσι πυρετοῖσι περίγλισχρα γίνεται, ἰσχυρότεροι γίνονται οἱ πυρετοί.

Ὁκόσοισιν ἐπὶ πολὺ βῆχες ξηραὶ, βραχέα ἐρεθίζουσαι, ἐν πυρετοῖσι καυσώδεσιν, οὐ πάνυ τι διψώδεές εἰσιν.

Quibus plurimũ tuſſes, leuiter iritantes, in febribus ardẽtibus fiũt, ij nõ multum ſiti infeſtãtur.

Οἱ ἐπὶ βουβῶσι πυρετοὶ, πάντες κακοὶ, πλὴν τῶν ἐφημέρων.

Ab inguinum tumoribus febres omnes malę, pręter diarias.

Πυρέσσοντι ἱδρὼς ἐπιγενόμενος, μὴ ἐκλείποντος τοῦ πυρετοῦ, κακόν· μηκύνει γὰρ ἡ νοῦσος, καὶ ὑγρασίην πλείω σημαίνει.

Febricitanti ſudor ſuperueniens, febre non deficiente, malum. prorogatur enim morbus, & plus humiditatis ineſſe ſignificatur.

Ὑπὸ σπασμοῦ ἢ τετάνου ἐνοχλουμένῳ πυρετὸς ἐπιγενόμενος, λύει τὸ νόσημα.

Spaſmo aut tetano laboranti febris ſi acceſſerit, morbũ ſoluit.

Ὑπὸ καύσου ἐχομένῳ ἐπιγενομένου ῥίγεος, λύσις γίνεται.

Febre ardente laborãti rigor ſi ſupueniat, ſolutio fit.

Τριταῖος ἀκριβὴς κρίνεται ἐν ἑπτὰ περιό-

Tertiana febris exquiſita ſeptenis ad ſummum cir-

cuitibus iudicatur.

δοισι τὸ μακρότατον.

Quibus febricitãtibus aures obſurduerint, ijs ſanguis è naribus profluens, aut aluus turbata ſoluit morbum.

Ὁκόσοισιν αὖ ἐν τοῖσι πυρετοῖσι τὰ ὦτα κωφωθῇ, αἷμα ἐκ ῥινῶν ῥυὲν, ἢ κοιλίη ἐκταραχθεῖσα λύει τὸ νόσημα.

Febricitantem nisi diebus imparibus febris reliquerit, ſolet reuerti.

Πυρέσσοντι ἢν μὴ ἐν περισσῇσιν ἡμέρῃσιν ἀφῇ ὁ πυρετὸς, ὑποτροπιάζειν εἴωθεν.

Quibus febricitantibus morbus regius ſupuenerit ante diem ſeptimũ, malũ.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι ἴκτεροι ἐπιγίνονται πρὸ τῶν ἑπτὰ ἡμερῶν, κακόν.

Quibus in febribus quotidie rigores repetunt, quotidie febres ſoluuntur.

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι καθ' ἡμέρην ῥίγεα γίνεται, καθ' ἡμέρην οἱ πυρετοὶ λύονται.

Quibus in febribus morbus regius die ſeptimo, vel nono, vel vndecimo, vel decimoquarto, ſupuenerit, bonum, niſi dextrum hypochondrium obdu-

Ὁκόσοισιν ἐν τοῖσι πυρετοῖσι τῇ ἑβδόμῃ, ἢ τῇ ἐννάτῃ, ἢ τῇ ἐνδεκάτῃ, ἢ τεσσαρεσκαιδεκάτῃ ἴκτεροι ἐπιγίνονται, ἀγαθὸν, ἢν μὴ τὸ δεξιὸν ὑποχόνδριον

χόνδριον σκληρὸν ᾖ· ἢν δὲ μὴ, οὐκ ἀγαθόν.

Ἐν τοῖσι πυρετοῖσι περὶ τὴν κοιλίην καῦμα ἰσχυρὸν καὶ καρδιωγμὸς, κακόν.

Ἐν τοῖσι πυρετοῖσι τοῖσιν ὀξέσιν οἱ σπασμοὶ, καὶ περὶ τὰ σπλάγχνα πόνοι ἰσχυροὶ, κακόν.

Ἐν τοῖσι πυρετοῖσιν οἱ ἐκ τῶν ὕπνων φόβοι ἢ σπασμοὶ, κακόν.

Ἐν τοῖσι πυρετοῖσι τὸ πνεῦμα προσκόπτον, κακόν· σπασμὸν γὰρ σημαίνει.

Ὁκόσοισιν οὖρα παχέα, θρομβώδεα, ὀλίγα οὐκ ἀπυρέτοισι, πλῆθος ἐπελθὸν ἐκ τουτέων λεπτὸν, ὠφελέει. μάλιστα δὲ τὰ τοιαῦτα ἔρχεται, οἷσιν ἐξ ἀρχῆς, ἢ διὰ ταχέων ὑπόστασιν ἴσχει.

ruerit: alioqui, minimè bonum.

In febribus circa ventriculum vehemens æstus & cordis morsus, malum.

In acutis febribus conuulsiones, & circa viscera vehementes dolores, malum.

In febrib⁹ ex somnis timores, vel conuulsiones, malum.

In febribus spiritus offendens, malum: conuulsionem enim significat.

Quib⁹ vrinę sunt crassæ, grumosæ, paucæ, si ex ijs copia tenuis veniat, iuuat. Maximè verò tales veniunt, quibus ab initio, vel paulo pòst sedimentum inest.

Quibus verò in febribus vrinæ turbatæ, quales iumentorum, ijs dolor capitis vel adeſt, vel aderit.

Quibus die ſeptimo iudicatur, ijs vrina rubra die quarto nubeculam habet, & alia ex ratione.

Quibus pellucidæ & albæ ſunt vrinæ, malæ: quę maxime in delirantibus apparent.

Quibus ilia ſuſpenſa murmurant, lumborum ſuperueniente dolore, ijs alui humectantur, niſi infernè flatus erũpant, aut vrinę multitudo perueniat: atque hæc in febribus.

Ὁκόσοισι δὲ ἐν πυρετοῖσι τὰ οὖρα ἀναπεταραγμένα οἷον ὑποζυγίου, τουτέοισι κεφαλαλγίαι ἢ πάρεισιν, ἢ παρέσονται.

Ὁκόσοισιν ἑβδομαῖα κρίνεται, τουτέοισιν ἐπινέφελον ἴσχει τὸ οὖρον τῇ τετάρτῃ ἐρυθρὸν, καὶ τἄλλα κατὰ λόγον.

Ὁκόσοισιν οὖρα διαφανέα, λευκὰ, πονηρά· μάλιστα δὲ ἐν τοῖσι φρενιτικοῖσιν ἐπιφαίνεται.

Ὁκόσοισιν ὑποχόνδρια μετέωρα διαβορβορύζοντα, ὀσφύος ἀλγήματος ἐπιγινομένου, αἱ κοιλίαι τουτέοισι καθυγραίνονται, ἢν μὴ φῦσαι καταῤῥαγέωσιν, ἢ οὔρου πλῆθος ἐπέλθῃ. ἐν πυρετοῖσι δὲ ταῦτα.

Ὁκόσοισιν ἐλπὶς ἐς τὰ ἄρθρα ἀφίστασθαι, ῥύεται τῆς ἀποστάσιος οὖρον πολὺ καὶ παχὺ καὶ λευκὸν γινόμενον, οἷον ἐν τοῖσι κοπώδεσι πυρετοῖσι τεταρταίοισιν ἄρχεται ἐνίοισι γίνεσθαι. ἢν δὲ καὶ ἐκ τῶν ῥινῶν αἱμοῤῥαγήσῃ, καὶ πάνυ ταχὺ λύεται.

Quibus speratur ad articulos abscessum futurũ, abscessu liberat vrina multa crassa & alba reddita, qualis in febribus laboriosis quarto die quibusdã fieri incipit. si verò etiam ex naribus sanguis fluxerit, breui admodũ solutio fit.

Ἢν αἷμα ἢ πῦον οὐρέῃ, τῶν νεφρῶν, ἢ τῆς κύστιος ἕλκωσιν σημαίνει.

Si sanguinẽ aut pus meiat, id renũ, aut vesicæ exulcerationem significat.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι σαρκία μικρὰ, ἢ ὥσπερ τρίχες ξυνεξέρχονται, τουτέοισιν ἀπὸ τῶν νεφρῶν ἐκκρίνεται.

Quibus in vrina crassa paruæ caruncułæ, aut veluti capilli vnà exeunt, ijs à renibus excernitur.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ παχεῖ ἐόντι πιτυρώδεα συνεξουρέεται, τουτέοισιν ἡ κύστις ψωριᾷ.

Quibus in vrina crassa furfurea quædam simul exeunt, his vesica scabie laborat.

Qui ſponte ſanguinem meiunt, ijs à renibus venulam ruptam eſſe ſignificatur.

Ὁκόσοι ἀπὸ ταυτομάτου αἷμα οὐρέουσι, τουτέοισιν ἀπὸ τῶν νεφρῶν φλεβίου ῥῆξιν σημαίνει.

Quibus in vrina ſubſident arenoſa, ijs veſica calculo laborat.

Ὁκόσοισιν ἐν τῷ οὔρῳ ψαμμώδεα ὑφίσταται, τουτέοισιν ἡ κύστις λιθιᾷ.

Si ſanguinem, aut grumos meiat, aut ſtillicidium vrinæ habeat, & dolor ad imũ ventrem & femẽ incidat, circa veſicam labor eſt.

Ἢν αἷμα οὐρέῃ, καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ ὑπογάστριον καὶ ἐς τὸ περίναιον, τὰ περὶ τὴν κύστιν πονεῖ.

Si ſanguinem, aut pus, aut ſquamulas meiat, & grauis odor adſit, veſicæ exulceratio ſignificatur.

Ἢν αἷμα καὶ πῦον οὐρέῃ, καὶ λεπίδας, καὶ ὀσμὴ βαρεῖα ᾖ, τῆς κύστιος ἕλκωσιν σημαίνει.

Quibus in fiſtula vrinaria naſcitur tuberculum, ijs ſuppurato eo & erupto, ſolutio fit.

Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα φύεται, τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύσις.

| | |
|---|---|
| Οὔρησις νύκτωρ πολλὴ γινομένη, σμικρὴν τὴν ἀποχώρησιν σημαίνει. | Mictus noctu multus si fiat, paruã deiectionem significat. |

| | |
|---|---|
| ## ΤΜΗΜΑ ΠΕΜΠΤΟΝ. | ## SECTIO QVINTA. |
| Σπασμὸς ἐξ ἐλλεβόρου, θανάσιμον. | Conuulsio ab helleboro, letalis. |
| Ἐπὶ τρώματι σπασμὸς ἐπιγινόμενος, θανάσιμον. | Conuulsio à vulnere, letalis. |
| Αἵματος πολλοῦ ῥυέντος, σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν. | Vbi copiosus sanguis fluxerit, conuulsio aut singultus superueniens, malum. |
| Ἐπὶ ὑπερκαθάρσει σπασμὸς ἢ λυγμὸς ἐπιγινόμενος, κακόν. | A purgatione immodica, conuulsio, aut singultus superueniens, malum. |
| Ἢν μεθύων ἐξαίφνης ἄφωνός τις γένηται, σπασθεὶς ἀποθνήσκει, ἢν μὴ πυρετὸς ἐπιλάβῃ, ἢ ἐς τὴν ὥρην ἐλθὼν καθ' ἣν | Si ebrius quispiã repentè obmutescat, conuulsus moritur, nisi febre corripiatur, aut vbi ad |

horam peruenerit qua crapulæ soluũtur, vocẽ recuperet.

Qui distentione corripiuntur, intra quatuor dies intereunt: si verò has effugerint, sani fiunt.

Comitiales morbi quibus fiũt ante pubertatẽ, mutationem recipiũt: quib° autem post vicesimum quintum annum, ferè, comitantur ad mortẽ vsque.

Qui morbo laterali laborãt, nisi intra dies quatuordecim repurgentur, ij ad suppurationẽ vertuntur.

Tabes ijs maximè ætatibus fit, à decimooctauo anno ad tricesimum quintum.

αἱ κραιπάλαι λύονται, φθέγξηται.

Ὁκόσοι ὑπὸ τετάνου ἁλίσκονται, ἐν τέτταρσιν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

Τὰ ἐπιληπτικὰ ὁκόσοισι πρὸ τῆς ἥβης γίνεται, μετάστασιν ἴσχει· ὁκόσοισι δὲ πέντε καὶ εἴκοσιν ἐτέων γίνεται, τουτέοισι τὰ πολλὰ ξυναποθνήσκει.

Ὁκόσοι πλευριτικοὶ γενόμενοι, οὐκ ἀνακαθαίρονται ἐν τεσσαρεσκαίδεκα ἡμέρῃσι, τουτέοισιν ἐς ἐμπύημα μεθίσταται.

Φθίσις γίνεται μάλιστα ἡλικίῃσι τῇσιν ἀπὸ ὀκτωκαίδεκα ἐτέων, μέχρι πέντε καὶ τριάκοντα.

Ὁκόσοισι κυνάγχην διαφύγουσιν ἐς τὸν πνεύμονα τρέπεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀποθνήσκουσιν· ἢν δὲ ταύτας διαφύγωσιν, ἔμπυοι γίνονται.

Quibus ab angina ad pulmoné mali fit cõuersio, ij intra dies septem moriuntur: si verò hos effugerint, suppurantur.

Τοῖσιν ὑπὸ τῆς φθισίων ἐνοχλουμένοισιν, ἢν τὸ πτύσμα ὅπερ ἂν ἀποβήσσωσι, βαρὺ ὄζῃ ἐπὶ τοὺς ἄνθρακας ἐπιχεόμενον, καὶ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσι, θανάσιμον.

Qui tabe infestantur, si sputum quod extussiunt, olet grauiter carbonibus iniectum, & capilli à capite defluunt, letale.

Ὁκόσοισιν αὖ φθισιῶσιν αἱ τρίχες ἀπὸ τῆς κεφαλῆς ῥέωσιν, οὗτοι διαῤῥοίης ἐπιγινομένης ἀποθνήσκουσιν.

Quibus tabe laborantibus capilli defluunt à capite, ij alui profluuio superueniente, moriuntur.

Ὁκόσοι αἷμα ἀφρῶδες ἀναπτύουσι, τουτέοισι ἐκ τοῦ πνεύμονος ἡ τοιαύτη ἀναγωγὴ γίνεται.

Qui spumosum sanguiné expuunt, ijs ex pulmone eductio eiusmodi fit.

Tabe laboranti profluuium alui ſuperueniens, letale.

Ὑπὸ φθίσιος ἐχομένῳ διάῤῥοια ἐπιγενομένη, θανατῶδες.

Qui ex morbo laterali ſuppurantur, ſi intra dies quadraginta ex quo eruptio facta eſt, repurgentur, liberantur: ſin minus, tranſeunt ad tabem.

Ὁκόσοι ἐκ πλευρίτιδος ἔμπυοι γίνονται, ἢν ἀνακαθαρθῶσιν ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀφ' ἧς ἂν ἡ ῥῆξις γένηται, παύονται· ἢν δὲ μὴ, ἐς φθίσιν μεθίστανται.

Calidũ vtentibus frequẽtius, hæc adfert incõmoda, carnium effœminationem, neruorum incontinentiam, mentis torporem, profluuia ſanguinis, animi defectiones: hæc quibus mors.

Τὸ θερμὸν βλάπτει ταῦτα τοῖσι πλεονάκις χρεομένοισι, σαρκῶν ἐκθήλυνσιν, νεύρων ἀκράτειαν, γνώμης νάρκωσιν, αἱμοῤῥαγίας, λειποθυμίας, ταῦτα οἷσι θάνατος.

Frigidum verò, cõuulſiones, diſtentiones, liuores, & rigores febriles.

Τὸ δὲ ψυχρὸν, σπασμοὺς, τετάνους, μελασμοὺς, καὶ ῥίγεα πυρετώδεα.

Frigidum inimicum oſsibus, dentibus, neruis, cerebro,

Τὸ ψυχρὸν πολέμιον ὀστέοισιν, ὀδοῦσι, νεύροις, ἐγκεφάλῳ,

νωτιαίῳ μυελῷ. τὸ δὲ θερμὸν ὠφέλιμον.

Ὁκόσα κατέψυκται, ἐκθερμαίνειν δεῖ, πλὴν ὁκόσα αἱμοῤῥαγέει, ἢ μέλλει.

Ἕλκεσι τὸ μὲν ψυχρὸν δακνῶδες, δέρμα περισκληρύνει, ὀδύνην ἀνεκπύητον ποιέει, μελασμοὺς, ῥίγεα πυρετώδεα, σπασμοὺς καὶ τετάνους.

Ἔστι δὲ ὅκου ἐπὶ τετάνου ἄνευ ἕλκεος νέῳ εὐσάρκῳ, θέρεος μέσου, ψυχροῦ πολλοῦ κατάχυσις ἐπανάκλησιν θέρμης ποιέεται, θέρμη δὲ ταῦτα ῥύεται.

Τὸ θερμὸν ἐκπυητικὸν οὐκ ἐπὶ παντὶ ἕλκει, μέγιστον σημεῖον ἐς ἀσφάλειην· δέρμα μαλάσσει, ἰσχναίνει, ἀνώδυνον, ῥιγέων,

ſpinali medullæ: calidum verò amicũ.

Quæ refrigerata ſunt, excalfacere oportet, exceptis iјs quib⁹ ſanguis fluit, aut fluxurus eſt.

Frigidum vlceribus quidẽ mordax, cutem obdurat, dolorem inſuppurabilem facit, liuorem obducit, rigores febriles, cõuulſiones, & diſtenſiones.

Eſt autem vbi in diſtẽtione ſine vlceratione iuueni corpulẽto, æſtate media, frigidę multę pfuſio calorẽ reuocat, calor autem ſoluit.

Calidũ nõ ĩ omni vlcere, ſaniẽ faciẽs, magnũ ad ſecuritatem indiciũ: cutem mollit, extenuat, dolorẽ ſedat, rigores,

cõuulsiones,& distẽtiones mitigat: capitis grauitatẽ soluit: císsiũ fracturis plurimũ cõfert,sed nudis præcipuè,cóq; magis si in capite vlcera habẽt. ijs etiã quę moriũtur aut vlcerãtur à frigore. herpetib⁹ deniq; exedẽtibus, sedi,pudẽdis, vtero vesicę: his omnib⁹ calidũ amicũ, & iudicãs: frigidum inimicũ & perimẽs.

Frigido verò in ijs vti oportet,vndè fluit aut fluxur⁹ sanguis est, non quidẽ ad ipsa,sed circa ea loca vndè influit: & si quæ inflãmationes aut deflagrationes ad rubrũ subcruẽtũve colorẽ tẽdunt,recẽti efflorecẽte sãguine, ijsdẽ

σπασμῶν, πταίων παρηγορικόν· τὴν δὲ ἐν τῇ κεφαλῇ καρηβαρίην λύει. πλεῖστον δὲ διαφέρει ὀστέων κατάγμασι, μάλιστα δὲ τοῖσιν ἐψιλωμένοισι. τουτέων δὲ μάλιστα τοῖσιν ἐν κεφαλῇ ἕλκεα ἔχουσι· καὶ ὁκόσα ὑπὸ ψύξιος θνήσκει ἢ ἑλκοῦται. καὶ ἕρπησιν ἐσθιομένοισιν, ἕδρῃ, αἰδοίῳ, ὑστέρῃ, κύστει· τουτέοισι τὸ θερμὸν φίλιον, καὶ κρῖνον· τὸ δὲ ψυχρὸν πολέμιον καὶ κτεῖνον.

Ἐν τουτέοισι δὲ δεῖ τῷ ψυχρῷ χρέεσθαι, ὁκόθεν αἱμορραγέει ἢ μέλλει, μὴ ἐπ' αὐτά, ἀλλὰ περὶ αὐτὰ ὁκόθεν ἐπιρρέει· καὶ ὁκόσαι φλεγμοναὶ ἢ ἐπιφλογίσματα ἐς τὸ ἐρυθρὸν καὶ ὕφαιμον ἔρποντα νεαρῷ αἵματι, ἐπὶ ταῦτα. ἐ-

περὶ τάγε παλαιὰ μελαίνει, καὶ ἐρυσιπέλας τὸ μὴ ἡλκωμένον ὠφελεῖ· ἐπὶ τό γε ἑλκωμένον βλάπτει.

Τὰ ψυχρὰ οἷον χιὼν, κρύσταλλος, τῷ στήθει πολέμια, βηχέων κινητικὰ, αἱμοῤῥοϊκὰ, καταῤῥοϊκά.

Τὰ δὲ ἐν ἄρθροισιν οἰδήματα καὶ ἀλγήματα ἄτερ ἕλκεος, καὶ ποδαγρικὰ, καὶ σπάσματα, τούτων τὰ πλεῖστα τὸ ψυχρὸν πολλὸν καταχεόμενον ῥηΐζει τε καὶ ἰσχναίνει, καὶ ὀδύνην λύει. νάρκη δὲ μετρίη ὀδύνης λυτική.

Ὕδωρ τὸ ταχέως θερμαινόμενον καὶ ταχέως ψυχόμενον, κουφότατον.

Ὁκόσοισι δὲ πιεῖν ὀρέξιες νύκτωρ, τούτοισι πάνυ διψῶσιν ἢν ἐπικοιμηθῶσιν, ἀγαθόν.

ipſis adhibito. nã veterib⁹ nigredinẽ adfert, eryſipelas etiã nõ vlceratũ iuuat: ſi qdẽ vlceratũ lædit.

Frigida qualis nix & glacies, pectori inimica, tuſſes mouent ſanguinis fluxiones, & deſtillationes efficiunt.

Articulorũ tumores atq; dolores abſque vlcere, atq; etiã podagricos, & conuulſa magna ex ꝑte aqua frigida largè effuſa leuat & extenuat, ſoluítq; dolorẽ. nã modicus torpor dolorẽ ſoluit.

Aqua quæ citò calet & citò refrigeratur, leuiſsima eſt.

Qui noctu bibere appetunt, ijs admodũ ſitiẽtibus obdormiſcere, bonũ eſt.

Suffitus aromatũ muliebria ducit: ſępius vero & ad alia vtilis eſſet niſi capitis faceret grauitatem.

Γυναικείων ἀγωγὸν ἡ ἐν ἀρώμασι πυρίη. πολλαχοῦ δὲ καὶ εἰς ἄλλα χρησίμη ἂν ἦν, εἰ μὴ καρηβαρίας ἐνεποίει.

Grauidas purgare conuenit, ſi materia turget, à quarto mẽſe ad ſeptimum vſque, ſed has minus. iuniore autem aut ſeniore fœtu, vereri oportet.

Τὰς κυούσας φαρμακεύειν, ἢν ὀργᾷ, τετράμηνα, καὶ ἄχρι ἑπτὰ μηνῶν· ἧσσον δὲ ταύτας· τὰ δὲ νήπια καὶ πρεσβύτερα εὐλαβέεσθαι.

Mulier vterũ gerens ſecta vena abortit, eóque magis ſi ſit fœtus grãdior.

Γυνὴ ἐν γαστρὶ ἔχουσα φλεβομηθεῖσα ἐκτιτρώσκει, καὶ μᾶλλον εἰ μεῖζον εἴη τὸ ἔμβρυον.

Mulierem grauidam morbo quopiam acuto corripi, letale eſt.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ὑπό τινος τῶν ὀξέων νοσημάτων ληφθῆναι, θανάσιμον.

Mulieri ſanguinem euomẽti' menſtruis erũpentibus, ſolutio fit.

Γυναικὶ αἷμα ἐμεούσῃ, τῶν καταμηνίων ῥαγέντων λύσις γίνεται.

Mulieri mẽſtruis

Γυναικὶ τῶν κα-

ταμηνίων ἐκλιπόντων, αἷμα τῶν ῥινῶν ῥυῆναι, ἀγαθόν.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ἡ κοιλίη πολλὰ ῥυῇ, κίνδυνος ἐκτρῶσαι.

Γυναικὶ ὑπὸ ὑστερικῶν ἐνοχλουμένῃ ἢ δυστοκούσῃ πταρμὸς ἐπιγινόμενος, ἀγαθόν.

Γυναικὶ τὰ καταμήνια ἄχροα, καὶ μὴ κατὰ τὰ αὐτὰ αἰεὶ γινόμενα, καθάρσιος δεῖσθαι σημαίνει.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ, ἢν οἱ μασθοὶ ἐξαίφνης ἰσχνοὶ γένωνται, ἐκτιτρώσκει.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ ἢν ὁ ἕτερος μασθὸς ἰσχνὸς γένηται δίδυμα ἐχούσῃ. θάτερον ἐκτιτρώσκει. καὶ ἢν μὲν ὁ δε-

deficientibus, sanguis è naribus profluens, bonum eſt.

Mulieri vterũ gerenti ſi aluus multũ profluat, periculum eſt ne abortiat.

Mulieri quæ vterinis infeſtatur, aut difficulter parienti ſternutamentum ſuperueniẽs, bonum.

Mulieri menſes decolores, nec eodẽ ſemper modo & tẽpore prodeũtes, purgationem indicant eſſe neceſſariam.

Si mulieri vterum gerenti mammæ graciles fiant, abortit.

Mulieri geminos gerenti, ſi altera mamma fiat gracilis, alterũ abortit: & ſiquidem dextra

mãma gracilis fiat, marem: si verò sinistra, fœminam.

ξιὸς ἰσχνὸς γένηται, τὸ ἄρσεν· ἢν δὲ ὁ ἀριστερὸς, τὸ θῆλυ.

Si quæ mulier neque grauida, neque peperit, lac habet, ei menstrua defecerunt.

Ην γυνὴ μὴ κύουσα, μηδὲ τετοκυῖα γάλα ἔχῃ, ταύτῃ τὰ καταμήνια ἐκλέλοιπε.

Quibus mulieribus ad mãmas sanguis colligitur, furorem significat.

Γυναιξὶν ὁκόσῃσιν ἐς τοὺς τιτθοὺς αἷμα συστρέφεται, μανίην σημαίνει.

Si velis noscere an mulier conceperit, cum dormitura est aquam mulsam ei propinato, & si ventris tormina patiatur, concepit: sin minus, non concepit.

Γυναῖκα ἢν θέλῃς εἰδέναι εἰ κύει, ἐπὴν καθεύδειν μέλλῃ μελίκρητον διδόναι πιεῖν, κἢν μὲν στρόφον ἔχῃ περὶ τὴν γαστέρα, κύει· ἢν δὲ μὴ, οὐ κύει.

Mulier grauida si marem concepit, bene colorata est: si fœminam, male colorata.

Γυνὴ ἔγκυος, εἰ μὲν ἄῤῥεν κύει, εὔχρους ἐστίν· ἢν δὲ θῆλυ, δύσχρους.

Ἢν γυναικὶ κυούσῃ ἐρυσίπελας ἐν τῇ ὑστέρῃ γένηται, θανατῶδες.

Si grauidę mulieri fiat in vtero eryſipelas, letale.

Ὁκόσαι παρὰ φύσιν λεπταὶ ἐοῦσαι ἐν γαστρὶ ἔχουσιν, ἐκτιτρώσκουσι πρὶν ἢ παχυνθῆναι.

Quæ præter naturam tenues vterum gerunt, abortiunt donec craſſeſcant.

Ὁκόσαι δὲ μετρίως τὸ σῶμα ἔχουσαι ἐκτιτρώσκουσι δίμηνα καὶ τρίμηνα ἄτερ προφάσιος φανερῆς, ταύτῃσιν αἱ κοτυληδόνες μύξης μεσταί εἰσι, καὶ οὐ δύνανται κρατεῖν ὑπὸ τοῦ βάρεος τὸ ἔμβρυον, ἀλλ' ἀπορρήγνυνται.

Quæ verò mediocriter corpulentæ abortiunt ſecundo menſe, aut tertio ſine occaſione manifeſta, ijs acetabula mucoris ſunt plena, nec præ pondere fœtum continere poſſunt, ſed diſrumpuntur.

Ὁκόσαι παρὰ φύσιν παχεῖαι ἐοῦσαι μὴ ξυλλαμβάνουσιν ἐν τῇ γαστρὶ, ταύτῃσι τὸ ἐπίπλοον τὸ στόμα τῶν ὑστερέων ἀποπιέζει, καὶ πρὶν ἢ λεπτυνθῆναι, οὐ κυοῦσιν.

Quæ præter naturam craſſę quum ſint, non cõcipiunt, ijs os vteri ab omento comprimitur: & priuſquàm extenuentur, non concipiunt.

Si vterus coxæ adiacens ſuppurauerit, linamentum recipiat neceſſe eſt.

Ἢν ὑστέρη ἐν τῷ ἰσχίῳ ἐγκειμένη διαπυήσῃ, ἀνάγκη ἔμμοτον γενέσθαι.

Fœtus mares in dextra vteri parte, fœminæ in ſiniſtra magis geſtantur.

Ἔμβρυα, τὰ μὲν ἄρσενα ἐν τοῖσι δεξιοῖσι, τὰ δὲ θήλεα ἐν τοῖσιν ἀριστεροῖσι μᾶλλον.

Vt ſecundæ procidant, ſternutatorio immiſſo, nares & os apprendito.

Ἐς ὑστερῶν ἐκπτώσιας, πταρμικὸν ἐπιτιθεὶς, ἐπιλαμβάνειν τοὺς μυκτῆρας καὶ τὸ στόμα.

Mulieri ſi velis menſtrua cohibere, cucurbitulam quàm maximam ad mammas appone.

Γυναικὶ τὰ καταμήνια ἢν βούλῃ ἐπισχεῖν, σικύην ὡς μεγίστην πρὸς τοὺς τιτθοὺς πρόσβαλλε.

Quæ vterum ferunt, ijs vteri os cōprimitur.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσι, τουτέων τὸ στόμα τῶν ὑστερέων συμμέμυκεν.

Mulieri grauidæ ſi lac multū è mammis effluat, fœtum imbecillum ſignificat: ſi verò ſolidæ mammę fuerint, fœtum ſaniorem ſi-

Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ γάλα πολὺ ἐκ τῶν μαζῶν ῥυῇ, ἀσθενὲς τὸ ἔμβρυον σημαίνει· ἢν δὲ στερεοὶ οἱ μαστοὶ ἔωσιν, ὑγιεινότερον

νότερον τὸ ἔμβρυον σημαίνει. gnificant.

Ὁκόσαι διαφθείρειν μέλλουσι τὰ ἔμβρυα, ταύτῃσιν οἱ τιτθοὶ ἰσχνοὶ γίνονται· ἢν δὲ πάλιν σκληροὶ γένωνται, ὀδύνη ἔσται ἢ ἐν τοῖσι τιτθοῖσιν, ἢ ἐν τοῖσιν ἰσχίοισιν, ἢ ἐν τοῖσιν ὀφθαλμοῖσιν, ἢ ἐν τοῖσι γούνασι, καὶ οὐ διαφθείρουσιν.

Quæ fœtus sunt corrupturę, ijs mã̄mę extenuantur: cótrà verò, si duræ fiant, dolor aut mammas, aut coxas, aut oculos, aut genua infestabit, nec fœtum corrumpunt.

Ὁκόσῃσι τὸ στόμα τῶν ὑστερέων σκληρόν ἐστι, ταύτῃσιν ἀνάγκη τὸ στόμα τῶν ὑστερέων ξυμμύειν.

Quibus os vteri durũ est, ijs comprimatur os vteri necesse est.

Ὁκόσαι ἐν γαστρὶ ἔχουσαι ὑπὸ πυρετῶν λαμβάνονται, καὶ ἰσχυρῶς ἰσχναίνονται ἄνευ προφάσιος φανερῆς, τίκτουσι χαλεπῶς καὶ ἐπικινδύνως, ἢ ἐκτιτρώσκουσαι κινδυνεύουσιν.

Quæ gerétes vterum à febribus corripiuntur, aut vehementer sine manifesta causa extenuantur, eæ difficulter & cum periculo pariunt, aut abortientes periclitantur.

Si muliebri profluuio conuulſio & animi defectus ſuperueniant, malum.

Ἐπὶ ῥόῳ γυναικείῳ σπασμὸς καὶ λειποθυμίη ἢν ἐπιγένηται, κακόν.

Si menſtrua plura fiant, morbi accidunt: etſi nõ fiant, ab vtero morbi contingunt.

Καταμηνίων γινομένων πλειόνων, νοῦσοι ξυμβαίνουσι· καὶ μὴ γινομένων, ἀπὸ τῆς ὑστέρης ξυμβαίνουσι νοῦσοι.

Recto inteſtino, & vtero inflammato, purulentíſque renibus, vrinæ ſtillicidium ſuccedit: iecori verò inflammatione laborãti ſuperuenit ſingultus.

Ἐπὶ ἀρχῷ φλεγμαίνοντι καὶ τῇ ὑστέρῃ φλεγμαινούσῃ, καὶ τοῖς νεφροῖσιν ἐμπύοισι, στραγγουρίη ἐπιγίνεται· τῷ δὲ ἥπατι φλεγμαίνοντι λὺγξ ἐπιγίνεται.

Si mulier non cõcipit, & ſcire vis an ſit conceptura, veſtibus circũtectam ſubter ſuffito: etſi odor per corpus ire videatur ad nares & os vſque, ipſam non ſua culpa ſterilem eſſe, ſcito.

Γυνὴ ἢν μὴ λαμβάνῃ ἐν γαστρὶ, βούλῃ δὲ εἰδέναι εἰ λήψεται, περικαλύψας ἱματίοισι θυμία κάτω· κἢν μὲν πορεύεσθαί σοι δοκέῃ ἡ ὀδμὴ διὰ τοῦ σώματος ἐς τὰς ῥῖνας καὶ ἐς τὸ στόμα, γίνωσκε ὅτι αὐτὴ οὐ δι' ἑαυτὴν ἄγονός ἐστιν.

Ἢν γυναικὶ ἐν γαστρὶ ἐχούσῃ αἱ καθάρσιες πορεύωνται, ἀδύνατον τὸ ἔμβρυον ὑγιαίνειν.

Si mulieri grauidæ purgationes exeant, benè valere fœtum est impossibile.

Ἢν γυναικὶ καθάρσιες μὴ πορεύωνται, μήτε φρίκης, μήτε πυρετοῦ ἐπιγινομένου, ἆσαι δὲ αὐτῇ προσπίπτωσι, λογίζου ταύτην ἐν γαστρὶ ἔχειν.

Si mulieri purgationes cessent, neque rigor, neque febris superueniãt, fastidiáque accidãt, grauidam esse censeto.

Ὁκόσαι ψυχρὰς καὶ πυκνὰς τὰς μήτρας ἔχουσι, οὐ κυΐσκουσι· καὶ ὁκόσαι καθύγρους ἔχουσι τὰς μήτρας, οὐ κυΐσκουσιν· ἀποσβέννυται γὰρ αὐτῇσιν ὁ γόνος. καὶ ὁκόσαι ξηρὰς μᾶλλον καὶ περικαέας· ἐνδείῃ γὰρ τῆς τροφῆς φθείρεται τὸ σπέρμα. ὁκόσαι δὲ ἐξ ἀμφοτέρων τὴν κρᾶσιν ἔχουσι σύμμετρον, αἱ τοιαῦται ἐπίτεκνοι γίνονται.

Quæ frigidos & spissos vteros habent, nõ cõcipiunt: & quæ præhumidos vteros habent, non concipiunt: extinguitur enim in eis genitura. & quę sicciores & adurentes: nã alimẽti defectu corrumpitur semẽ. Quę verò ex vtrisq; mediocrẽ habent temperationẽ, tales fœcundæ fiũt.

Similiter quoque & in maribus: aut enim propter corporis raritatem, ſpiritus foras diſsipatur, ita vt genitură tranſmittere nequeat: aut propter ſpiſsitudinem, humor non exit foras: aut propter frigiditatem nō calefit, vt eò loci cogatur: aut ꝑpter caliditatem, hoc idem accidit.

Lac dare capite dolentibus, malum: malum verò & febricitãtibus, & quibus ilia ſuſpẽſa murmurant, & ſiticuloſis: malum item & quibus bilioſæ deiectiones, & ijs quib⁹ ſunt febres acutæ, & quibus copioſa ſanguinis deiectio fa-

Παραπλησίως δὲ καὶ ἐπὶ τῶν ἀῤῥένων· ἢ γὰρ διὰ ἀραιότητα τοῦ σώματος, τὸ πνεῦμα ἔξω φέρεται, πρὸς τὸ μὴ παραπέμπειν τὸ σπέρμα· ἢ διὰ τὴν πυκνότητα, τὸ ὑγρὸν οὐ διαχωρέει ἔξω· ἢ διὰ τὴν ψυχρότητα οὐκ ἐκπυριᾶται, ὥστε ἀθροίζεσθαι πρὸς τὸν τόπον τοῦτον· ἢ διὰ τὴν θερμασίην, τὸ αὐτὸ τοῦτο γίνεται.

Γάλα διδόναι κεφαλαλγέουσι, κακόν· κακὸν δὲ καὶ πυρεταίνουσι, καὶ οἷσιν ὑποχόνδρια μετέωρα διαβορβορίζοντα, καὶ τοῖσι διψώδεσι· κακὸν δὲ καὶ οἷσι χολώδεες αἱ διαχωρήσιες, καὶ ἐν τοῖσιν ὀξέσι πυρετοῖσιν ἐοῦσι, καὶ οἷσιν αἵματος πολλοῦ διαχώ-

ρήσις γέγονεν. ἁρμόζει δὲ τοῖσι φθινώδεσι, μὴ λίην πολλῷ πυρέσσουσι διδόναι γάλα, καὶ ἐν πυρετοῖσι μακροῖσι καὶ βληχροῖσι, μηδενὸς τῶν προειρημένων σημείων παρεόντος, παρὰ λόγον δὲ ἐκτετηκόσι.

Οκόσοισιν οἰδήματα ἐφ' ἕλκεσι φαίνεται, οὐ μάλα σπῶνται, οὐδὲ μαίνονται· τουτέων δὲ ἀφανισθέντων ἐξαίφνης, τοῖσι μὲν ὄπισθεν σπασμοὶ, τέτανοι· τοῖσι δὲ ἔμπροσθεν μανίαι, ὀδύναι πλευροῦ ὀξεῖαι, ἢ ἐμπύησις, ἢ δυσεντερίη, ἢν ἐρυθρὰ ᾖ τὰ οἰδήματα.

Ην τραυμάτων ἰσχυρῶν ἐόντων καὶ πονηρῶν, οἰδήματα μὴ φαίνηται, μέγα κακόν.

cta eſt. Conuenit verò tabidis, non valdè multum febricitantibus, & in febribus longis & languidis, ſi nullum ex ſuprà dictis ſignis adfuerit, & præter rationē tabefactis.

Quibus tumores in vlceribus apparent, ij non valde cōuellūtur, neq; inſaniūt: verū his euaneſcētibus repentè, quibuſdā à tergo cōuulſiones & diſtēſiones accidūt: quibuſdā à frōte, inſania, lateris dolor acutus, empyema & dyſenteria, ſi rubicundi fuerint tumores.

Si in magnis vulneribꝰ & prauis tumor non appareat, ingens malum.

Molles tumores boni, crudi verò mali.

Τὰ χαῦνα χρηστὰ, τὰ ὦμα κακά.

Partem capitis posteriorem dolenti, in fronte recta vena incisa, prodest.

Τὰ ὄπισθεν τῆς κεφαλῆς ὀδυνωμένῳ, ἡ ἐν μετώπῳ ὀρθὴ φλὲψ τμηθεῖσα ὠφελέει.

Rigores incipiũt, mulieribus quidem ex lumbis magis, & per dorsum ad caput: sed viris parte corporis posteriore magis q̃ anteriore, veluti femorũ & cubitorum: cutis nempe ijs rara est: indicio est pilus.

Ρίγεα ἄρχεται, γυναιξὶ μὲν ἐξ ὀσφύος μᾶλλον, καὶ διὰ νώτου ἐς κεφαλήν· ἀνδράσι δὲ μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν τοῦ σώματος, οἷον ἀπό τε πηχέων καὶ μηρῶν. ἀτὰρ καὶ τὸ δέρμα ἀραιόν. δηλοῖ δὲ τοῦτο ἡ θρίξ.

A quartanis correpti, nõ admodum conuulsionibus capiũtur: si verò prius capti fuerint, deinde superuenerit quartana liberãtur.

Οἱ ὑπὸ τεταρταίων ἁλισκόμενοι, ὑπὸ σπασμοῦ οὐ πάνυ τι ἁλίσκονται· ἢν δὲ ἁλίσκωνται πρότερον, εἶτα ἐπιγένηται τεταρταῖος, παύονται.

Quibus aridæ & duræ cutes circun-

Ὁκόσοισι δέρματα περιτείνεται καρφά-

λεα καὶ σκληρὰ, αὐτῶν ἱδρώτων τελευτῶσιν. ὁκόσοισι δὲ χαλαρὰ καὶ ἀραιὰ, σὺν ἱδρῶτι τελευτῶσιν.

Οἱ ἰκτερώδεες οὐ πάνυ τι πνευματώδεές εἰσι.

## ΤΜΗΜΑ ΕΚΤΟΝ.

ΕΝ τῇσι χρονίῃσι λειεντερίῃσιν ὀξυρεγμίη ἐπιγινομένη, μὴ γινομένη πρότερον, σημεῖον ἀγαθόν.

Οἷσι ῥῖνες ὑγρότεραι φύσει, καὶ ἡ γονὴ ὑγροτέρη, ὑγιαίνουσι νοσηρότερον. οἷσι δὲ τἀναντία, ὑγιεινότερον.

Εν τῇσι μακρῇσι δυσεντερίῃσιν αἱ ἀποσιτίαι, κακὸν, καὶ σὺν πυρετῷ κάκιον.

tenduntur, sine sudore moriuntur: quibus vero laxæ & raræ, cũ sudore moriuntur.

Qui regio morbo laborãt, nõ multum ventosi sunt.

## SECTIO SEXTA.

IN diuturnis læuitatibus intestinorũ si ruct⁹ acid⁹ supueniat, qui prius nõ erat, bonũ est signũ.

Quib⁹ nares natura humidiores, & genitura humidior, ij valetudine mala sunt: quibus verò contraria, bona.

In lõgis intestinorũ difficultatib⁹ inediæ ex fastidio malũ, & cũ febre peius.

Circũ labra vlcera, praua sunt.

Τὰ περιμάδηρα ἕλκεα, κακοήθεα.

Dolores & laterum, & pectorum, cæterarúmque partium, in multũ differant, perdiscẽdum est.

Τῶν ὀδυνέων καὶ ἐν πλευροῖσι, καὶ ἐν στήθεσι, καὶ ἐν τοῖσιν ἄλλοισιν, ἢν μέγα διαφέρωσι, καταμαθητέον.

Renum vitia, & quicunque vesicam obsident dolores, in senibus difficulter sanantur.

Τὰ νεφρικὰ, καὶ ὁκόσα κατὰ τὴν κύστιν ἀλγήματα, ἐργωδῶς ὑγιάζεται τοῖσι πρεσβύτῃσι.

Dolores ventris sublimes, leuiores: non sublimes, vehementiores.

Τὰ ἀλγήματα τὰ κατὰ τὴν κοιλίην γινόμενα, τὰ μὲν μετέωρα κουφότερα· τὰ δὲ μὴ μετέωρα, ἰσχυρότερα.

Aqua inter cutem laborãtibus vlcera in corpore nata, difficulter sanantur.

Τοῖσιν ὑδρωπικοῖσι τὰ γινόμενα ἕλκεα ἐν τῷ σώματι, οὐ ῥηϊδίως ὑγιάζεται.

Latæ pustulæ nõ admodum pruriginosæ.

Τὰ πλατέα ἐξανθήματα οὐ πάνυ τι κνησμώδεα.

Caput dolenti & vndique laboranti,

Κεφαλὴν πονέοντι καὶ περιωδυνέοντι,

πῦον, ἢ ὕδωρ, ἢ αἷμα ῥυὲν κατὰ τὰς ῥῖνας, ἢ κατὰ τὸ στόμα, ἢ κατὰ τὰ ὦτα λύει τὸ νόσημα.

Τοῖσι μελαγχολικοῖσι καὶ τοῖσι νεφριτικοῖσι αἱμοῤῥοΐδες ἐπιγινόμεναι, ἀγαθόν.

Αἱμοῤῥοΐδας ἰηθέντι χρονίας, ἢν μὴ μία φυλαχθῇ, κίνδυνος ὕδρωπα ἐπιγενέσθαι, ἢ φθίσιν.

Ὑπὸ λυγμοῦ ἐχομένῳ πταρμοὶ ἐπιγινόμενοι λύουσι τὸν λυγμόν.

Ὑπὸ ὕδρωπος ἐχομένῳ, τῶν κατὰ τὰς φλέβας ἐς τὴν κοιλίην ὕδατος ῥυέντος, λύσις.

Ὑπὸ διαῤῥοίης ἐχομένῳ μακρῆς, ἀπὸ ταυτομάτου ἔμετος ἐπιγινόμενος λύει τὴν διαῤῥοίην.

pus, vel aqua, vel sanguis per nares, aut os, aut aures effluens, morbum soluit.

Atra bile vexatis & renũ morbis hæmorrhoides superuenientes, bonum.

A diuturnis curato hæmorrhoidibꝰ, nisi vna seruetur, periculũ est ne aqua inter cutem vel tabes superueniant.

Singultienti sternutationes superuenientes singultum soluunt.

Aqua intercutẽ laborãti, si aqua è venis in vẽtrẽ defluxerit, soluitur morbꝰ.

Longo alui profluuio laboranti spontaneus vomitus superueniens, morbũ soluit.

Pleuritide aut peripneumonia detento, alui profluuiū ſuperueniens, malū.

Ὑπὸ πλευρίτιδος ἢ περιπνευμονίης ἐχομένῳ, διάῤῥοια ἐπιγινομένη, κακόν.

Lippientē profluuio corripi, bonum.

Ὀφθαλμιῶντα ὑπὸ διαῤῥοίης ληφθῆναι ἀγαθόν.

Diſciſſa veſica, aut cerebro, aut corde, aut ſepto trāſuerſo, aut aliquo ex tenuibus inteſtinis, aut ventriculo, aut iecore, letale eſt.

Κύστιν διακοπέντι, ἢ ἐγκέφαλον, ἢ καρδίην, ἢ φρένας, ἢ τῶν ἐντέρων τι τῶν λεπτῶν, ἢ κοιλίην, ἢ ἧπαρ, θανατῶδες.

Cū diſciſſū fuerit os, aut cartilago, aut neruus, aut genę tenuis particula, aut pręputiū, neq; augetur, neq; coaleſcit.

Ἐπὴν διακοπῇ ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον, ἢ γνάθου τὸ λεπτὸν, ἢ ἀκροποσθίη, οὔτε αὔξεται, οὔτε ξυμφύεται.

Si in ventrem ſanguis præter naturā effundatur, ſuppuretur neceſſe eſt.

Ἢν ἐς τὴν κοιλίην αἷμα χυθῇ παρὰ φύσιν, ἀνάγκη ἐκπυηθῆναι.

Inſanientibus ſi varices, vel hæmorrhoides ſuperuenerint, īſaniæ ſolutio.

Τοῖσι μαινομένοισι κιρσῶν ἢ αἱμοῤῥοΐδων ἐπιγινομένων, τῆς μανίης λύσις.

Ὁκόσα ῥήγματα ἐκ τοῦ νώτου ἐς τοὺς ἀγκῶνας καταβαίνει, φλεβοτομίη λύει.

Ruptiones quę ex dorso ad cubitos descendunt, venæ sectio soluit.

Ἢν φόβος καὶ δυσθυμίη πολὺν χρόνον διατελέῃ, μελαγχολικὸν τὸ τοιοῦτον.

Si timor atq; mœstitia longo tempore perseuerent, ex eo atra bilis significatur.

Ἐντέρων ἢν διακοπῇ τῶν λεπτῶν τι, οὐ ξυμφύεται.

Si quod graciliũ intestinorũ discisũ sit, non coalescit.

Ἐρυσίπελας, ἔξωθεν μὲν εἴσω τρέπεσθαι, οὐκ ἀγαθόν· ἔσωθεν δὲ ἔξω, ἀγαθόν.

Erysipelas ab exterioribus ad interiora verti, non est bonũ: ab interioribus ad exteriora, bonũ.

Ὁκόσοισιν ἂν ἐν τοῖσι καύσοισι τρόμοι γίνωνται, παρακοπὴ λύει.

Quib⁹ ĩ febrib⁹ ardẽtibus tremores fiũt, delirio soluũtur.

Ὁκόσοι ἔμπυοι ἢ ὑδρωπικοὶ καίονται ἢ τέμνονται, ἐκρυέντος τοῦ πύου καὶ τοῦ ὕδατος ἀθρόου, πάντως ἀπόλλυνται.

Quicunque suppurati aut intercute laborantes vruntur, aut secantur, si pus aut aqua vniuersim effluxerit, omninò moriuntur.

Eunuchi neque podagra laborant, neque calui fiunt.

Εὐνοῦχοι οὐ ποδαγριῶσιν, οὐδὲ φαλακροὶ γίνονται.

Mulier podagra nō laborat, nisi mēstrua ei defecerint.

Γυνὴ οὐ ποδαγριᾷ, ἢ μὴ τὰ καταμήνια αὐτέῃ ἐκλίπῃ.

Puer podagra nō laborat ante veneris vsum.

Παῖς οὐ ποδαγριᾷ πρὸ τοῦ ἀφροδισιασμοῦ.

Oculorū dolores meri potio, aut balneum, aut fomentū, aut medicamētum potum, soluit.

Ὀδύνας ὀφθαλμῶν ἀκρητοποσίη, ἢ λουτρὸν, ἢ πυρίη, ἢ φαρμακείη λύει.

Balbi longo alui profluuio maximè corripiuntur.

Τραυλοὶ ὑπὸ διαῤῥοίης μάλιστα ἁλίσκονται μακρῆς.

Qui acidū ructāt, nō valde morbo laterali corripiuntur.

Οἱ ὀξυρεγμιώδεες οὐ πάνυ πλευριτικοὶ γίνονται.

Qui calui sunt, ijs varices magni non fiunt: quibus verò caluis varices superueniunt, ij rursus capillati fiunt.

Ὁκόσοι φαλακροὶ, τουτέοισι κιρσοὶ μεγάλοι οὐ γίνονται. ὁκόσοισι δὲ αὖ φαλακροῖσιν ἐοῦσι κιρσοὶ ἐπιγένωνται, πάλιν οὗτοι γίνονται δασέες.

Τοῖσιν ὑδρωπικοῖσι βὴξ ἐπιγινομένη, κακόν.

Aqua inter cutem laborantibus tuſſis ſuperueniens, malũ.

Δυσουρίην φλεβοτομίη λύει· τέμνειν δὲ τὰς εἴσω.

Difficultaté vrinæ vena ſecta ſoluit: ſecãd; verò ĩteriores.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα γενέσθαι ἐν τῷ τραχήλῳ, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νόσημα.

Angina correpto, ſi tumor oriatur in collo, bonum: foras enim morbus deducitur.

Ὁκόσοισι κρυπτοὶ καρκίνοι γίνονται, μὴ θεραπεύειν βέλτιον. θεραπευόμενοι γὰρ, ἀπόλλυνται ταχέως· μὴ θεραπευόμενοι δὲ, πλείω χρόνον διατελοῦσι.

Quibus occulti cancri oriuntur, nó curare melius eſt. curati enim citius intereunt: non curati verò, longius tempus perdurant.

Σπασμὸς γίνεται, ἢ ὑπὸ πληρώσιος, ἢ κενώσιος. οὕτω δὲ καὶ λυγμός.

Conuulſio fit. aut ex repletione, aut ex inanitione, ita verò & ſingultus.

Ὁκόσοισι περὶ τὸ ὑποχόνδριον πόνοι γίνονται ἄτερ φλεγμονῆς, τουτέοισι ὑπ-

Quibus cica iliũ dolores fiunt ſine inflammatione, ijs febris ſuperueniens

dolorem ſoluit.

ῥετὸς ἐπιγινόμενος λύει τὸν πόνον.

Quibus in corpore pus deliteſcens nō innoteſcit, ijs ob craſsitudinem puris, aut loci, non innoteſcit.

Ὁκόσοισι διαπύον τι ἐὸν ἐν τῷ σώματι μὴ διασημαίνει, τουτέοισι διὰ παχύτητα τοῦ πύου, ἢ τοῦ τόπου, οὐκ ἀποσημαίνει.

Regio morbo laborantibus, ſi fiat hepar durum, malum.

Ἐν τοῖσιν ἰκτερικοῖσι τὸ ἧπαρ σκληρὸν γενέσθαι, πονηρόν.

Qui lienoſi difficultate inteſtinorū corripiuntur, ijs ſuperueniente longa inteſtinorum difficultate, aqua inter cutem, aut inteſtinorū læuitas ſuperuenit, ac moriūtur.

Ὁκόσοι σπληνώδεες ὑπὸ δυσεντερίης ἁλίσκονται, τουτέοισιν ἐπιγινομένης μακρῆς τῆς δυσεντερίης, ὕδρωψ ἐπιγίνεται, ἢ λειεντερίη, καὶ ἀπόλλυνται.

Quibus ex ſtillicidio vrinæ ileos ſuperuenerit, intra ſeptē dies moriūtur, niſi febre ſupueniente ſatis vrina fluxerit.

Ὁκόσοισιν ἐκ στραγγουρίης εἰλεὸς ἐπιγίνεται, ἐν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται, ἢν μὴ πυρετοῦ ἐπιγινομένου ἅλις τὸ οὖρον ῥυῇ.

Ελκεα ὁκόσα ἐνιαύσια γίνεται, ἢ μακρότερον χρόνον ἴσχουσιν, ἀνάγκην ὀστέον ἀφίστασθαι, καὶ τὰς οὖλας κοίλας γίνεσθαι.

Vlcera si annua aut etiam diuturniora fiunt, os abscedere est necesse, & cicatrices cauas fieri.

Οκόσοι ὗβοι ἐξ ἄσθματος, ἢ βηχὸς γίνονται πρὸ τῆς ἥβης, ἀπόλλυνται.

Qui gibbi ex asthmate, aut tussi fiunt ante pubertatem, moriuntur.

Οκόσοισι φλεβοτομίη ἢ φαρμακείη ξυμφέρει, τουτέους προσήκει τοῦ ἦρος φλεβοτομεῖν, ἢ φαρμακεύειν.

Quibus venæ sectio vel purgatio cõfert, eis conuenit vere venam secare, & medicamẽtum purgans dare.

Τοῖσι σπληνώδεσι δυσεντερίη ἐπιγινομένη, ἀγαθόν.

Lienosis difficultas intestinorum superueniens, bonum.

Οκόσα ποδαγρικὰ νοσήματα γίνεται, ταῦτα ἀποφλεγμήναντα ἐν τεσσαράκοντα ἡμέρῃσιν ἀποκαθίσταται.

Qui morbi podagrici fiunt, ij sedata inflammatione intra dies quadraginta conquiescunt.

Quibus præciſum eſt cerebrum, iis neceſſe eſt febrē & bilis vomitum ſuperuenire.

Ὀκόσοισιν ἂν ὁ ἐγκέφαλος διακοπῇ, τουτέοισιν ἀνάγκη πυρετὸν καὶ χολῆς ἔμετον ἐπιγίνεσθαι.

Qui ſani cum ſint capitis repentè doloribus corripiuntur, & ſtatim muti fiunt, & ſtertunt, intra ſeptem dies intereunt, niſi febris apprehenderit.

Ὀκόσοισιν ὑγιαίνουσιν ὀδύναι γίνονται ἐξαίφνης ἐν τῇ κεφαλῇ, καὶ παραχρῆμα ἄφωνοι γίνονται, καὶ ῥέγχουσιν, ἀπόλλυνται ἐν ἑπτὰ ἡμέρῃσιν, ἢν μὴ πυρετὸς ἐπιλάβῃ.

Spectare etiã oportet quæ per ſomnũ in oculis ſubapparent: nam ſi quid commiſſis palpebris ex albo appareat, neq; alui profluuio, aut medicamenti potione id accidat, malum ſignum eſt, & valde letale.

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται ξυμβαλλομένων τῶν βλεφάρων τοῦ λευκοῦ, μὴ ἐκ διαῤῥοίης ἐόντι, ἢ ἐκ φαρμακοποσίης, φλαῦρον τὸ σημεῖον καὶ θανατῶδες σφόδρα.

Deliratio quæ cũ

Αἱ παραφροσύναι,

αἱ μὲν μετὰ γέλωτος γινόμεναι, ἀσφαλέστεραι· αἱ δὲ μετὰ σπουδῆς, ἐπισφαλέστεραι.

risu fit, tutior: quæ verò ſerio, periculoſior.

Εν νόσοισιν ὀξέσι πάθεσι νόσοισι μετὰ πυρετοῦ αἱ κλαυθμώδεες ἀναπνοαὶ, κακαί.

In morbis acutis qui cum febre ſunt, luctuoſa ſuſpiria, mala.

Τὰ ποδαγρικὰ τοῦ ἦρος καὶ τοῦ φθινοπώρου κινέεται ὡς ἐπὶ τὸ πολύ.

Dolores podagrici vere & autumno plurimum mouentur.

Τοῖσι μελαγχολικοῖσι νοσήμασιν ἐς τά δὲ ἐπικίνδυνοι αἱ ἀποσκήψιες, ἢ ἀποπληξίην τοῦ σώματος, ἢ σπασμὸν, ἢ μανίην, ἢ τύφλωσιν σημαίνει.

Morbis melãcholicis ad hęc periculo ſi humorum decubitus, vel ſtuporẽ corporis, vel cõuulſionẽ, vel furorẽ, vel cæcitatem ſignificant.

Αποπληκτοι δὲ μάλιστα γίνονται ἡλικίῃ τῇ ἀπὸ τεσσαράκοντα ἐτέων ἄχρις ἑξήκοντα.

Apoplexiæ autem fiunt maximè à quadrageſimo anno ad ſexageſimum vſque.

Ην ἐπίπλοον ἐκπέσῃ, ἀνάγκη ἀποσαπῆναι.

Si omentum excidat, neceſſario putreſcit.

Quibus à lōgo coxendicum dolore vexatis, coxa excidit, rursúmque recidit, ijs mucores superueniunt.

Ὁκόσοισιν ἀπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης ἐξίσταται τὸ ἰσχίον, καὶ πάλιν ἐμπίπτει, τουτέοισι μύξαι ἐπιγίνονται.

Quibus à diuturno dolore coxendicū vexatis, coxa excidit, ijs crus tabescit, & claudicāt, nisi vrātur.

Ὁκόσοισιν ἀπὸ ἰσχιάδος ἐνοχλουμένοισι χρονίης, τὸ ἰσχίον ἐξίσταται, τουτέοισι τήκεται τὸ σκέλος, καὶ χωλοῦνται, ἢν μὴ καυθῶσι.

## SECTIO SEPTIMA.

## ΤΜΗΜΑ ΕΒΔΟΜΟΝ.

In morbis acutis frigus partiū extremarum, malum.

Ἐν τοῖσιν ὀξέσι νοσήμασι ψύξις ἀκρωτηρίων, κακόν.

In osse ægrotanti caro liuida, malum.

Ἐπὶ ὀστέῳ νοσέοντι σὰρξ πελιδνὴ, κακόν.

A vomitu singultus & oculorum rubor, malum.

Ἐπὶ ἐμέτῳ λύγξ καὶ ὀφθαλμοὶ ἐρυθροὶ, κακόν.

Ἐπὶ ἱδρῶτι φρίκη, οὐ χρηστόν.

A ſudore horror, non bonum.

Ἐπὶ μανίῃ δυσεντερίη, ἢ ὕδρωψ, ἢ ἔκστασις, ἀγαθόν.

A furore dyſenteria, aut aqua intercutem, vel mentis alienatio, bonum.

Ἐπὶ νούσῳ πολυχρονίῃ ἀποσιτίη καὶ ἄκρητοι ὑποχωρήσιες, κακόν.

In morbo diuturno faſtidium cibi, & deiectiones ſyncerę, malum.

Ἐκ πολυποσίης ῥῖγος καὶ παραφροσύνη, κακόν.

A multa potatione rigor, & deſipientia, malum.

Ἐπὶ φύματος ἔσω ῥήξεως, ἔκλυσις, ἔμετος, καὶ λειποψυχίη γίνεται.

A tuberculi intus eruptione, exolutio, vomitio, & animi defectio fit.

Ἐπὶ αἵματος ῥύσει παραφροσύνη, ἢ καὶ σπασμὸς, κακόν.

A ſanguinis profluuio deſipientia, aut etiam conuulſio, malum.

Ἐπὶ εἰλεῷ ἔμετος, ἢ λύγξ, ἢ σπασμὸς, ἢ παραφροσύνη, κακόν.

Ab ileo vomitus, aut ſingultus, aut conuulſio, aut deſipientia, malum.

Ἐπὶ πλευρίτιδι περιπνευμονίη, κακόν.

A morbo laterali, inflammatio pulmonis, malum.

A pulmonis inflammatione phrenitis, malum.

Ἐπὶ περιπνευμονίῃ φρενῖτις, κακόν.

Ab æstibus vehementibus conuulsio aut distẽtio, malum.

Ἐπὶ καύμασιν ἰσχυροῖσι σπασμὸς, ἢ τέτανος, κακόν.

A capitis ictu stupor, aut desipientia, malum.

Ἐπὶ πληγῇ ἐς τὴν κεφαλὴν ἔκπληξις, ἢ παραφροσύνη, κακόν.

A sanguinis sputo, puris expuitio, malum.

Ἐπὶ αἵματος πτύσει πύου πτύσις, κακόν.

A puris sputo, phthisis & fluxio: quum verò sputum retentũ fuerit, moriũtur.

Ἐπὶ πύου πτύσει, φθίσις καὶ ῥύσις· ἐπὴν δὲ τὸ πτύελον ἴσχηται, ἀποθνήσκουσιν.

Ab hepatis inflammatione singultus, malum.

Ἐπὶ φλεγμονῇ τοῦ ἥπατος λὺγξ, κακόν.

A vigilia conuulsio, vel desipientia, malum.

Ἐπὶ ἀγρυπνίῃ σπασμὸς ἢ παραφροσύνη, κακόν.

Ab ossis denudatione erysipelas, malum.

Ἐπὶ ὀστέου ψιλώσει ἐρυσίπελας, κακόν.

Ab erysipelate putredo, aut suppura-

Ἐπὶ ἐρυσιπέλατι σηπεδὼν, ἢ ἐκπύησις,

κακόν.

Ἐπὶ ἰσχυρῷ σφυγμῷ ἐν τοῖσιν ἕλκεσιν αἱμοῤῥαγίη, κακόν.

Ἐπὶ ὀδύνῃ πολυχρονίῃ τῆς περὶ τὴν κοιλίην ἐκπύησις, κακόν.

Ἐπὶ ἀκρήτῳ ὑποχωρήσει δυσεντερίη, κακόν.

Ἐπὶ ὀστέου διακοπῇ παραφροσύνη, ἢν κενεὸν λάβῃ, κακόν.

Ἐκ φαρμακοποσίης σπασμὸς, θανατῶδες.

Ἐπὶ ὀδύνῃ ἰσχυρῇ τῶν περὶ τὴν κοιλίην ἀκρωτηρίων ψύξις, κακόν.

Γυναικὶ ἐν γαστρὶ ἐχούσῃ τεινασμὸς ἐπιγινόμενος, ἐκτρῶσαι ποιέει.

Ὅ,τι ἂν ὀστέον, ἢ χόνδρος, ἢ νεῦρον ἀποκοπῇ ἐν τῷ σώματι, οὔ-

tio, malum.

A forti in vlceribus pulſu profluuiũ ſanguinis, malum.

A diuturno ventris dolore ſuppuratio, malum.

A ſyncera deiectione difficultas inteſtinorum, malum.

Ab oſsis pręciſione deſipientia, ſi vacuũ apprehẽderit, malũ.

A medicamẽti potione conuulſio letalis eſt.

A vehementi dolore ventris partium extremarum algor, malum.

Mulieri grauidæ ſi tenſio ſuperuenerit, abortum facit.

Siue os, ſiue cartilago, ſiue neruus abſciſſus fuerit in cor-

pore, neq; augetur, neque coaleſcit.

Si alba pituita detento fortis ventris fluxus ſuperuenerit, morbum ſoluit.

Quibus in alui profluuijs ſpumoſa ſunt excreméta, ijs à capite ea defluunt.

Quibus febricitátibꝰ in vrinis ſediméta veluti farina craſſior fiunt, lõgã ægritudinem ſignificãt.

Quibus in vrinis biliosa ſediméta, ſuprà verò tenuia, acutum morbum ſignificant.

Quibus diuerſæ ſunt vrinæ, ijs vehemens fit in corpore turbatio.

Quibus in vrinis bullæ ſupernatãt, renum morbum, eúm-

τε αὔξεται, οὔτε συμφύεται.

Ην ὑπὸ λευκοῦ φλέγματος ἐχομένῳ διάῤῥοια ἐπιγένηται ἰσχυρὴ, λύει τὴν νοῦσον.

Οκόσοισιν ἀφρώδεα τὰ διαχωρήματα ἐν τῇσι διαῤῥοίῃσι, τουτέοισιν ἀπὸ τῆς κεφαλῆς ταῦτα καταῤῥέει.

Οκόσοισι πυρέσσουσιν ἐν τοῖσιν οὔροισι κριμνώδεες αἱ ὑποστάσιες γίνονται, μακρὴν τὴν ἀῤῥωστίην σημαίνουσιν.

Οκόσοισι δὲ χολώδεες αἱ ὑποστάσιες, ἄνωθεν δὲ λεπταὶ, ὀξείην ἀῤῥωστίην σημαίνει.

Οκόσοισι δὲ διεστηκότα τὰ οὖρα γίνεται, τουτέοισι ταραχὴ ἰσχυρὴ ἐν τῷ σώματί ἐστιν.

Οκόσοισιν ἐν τοῖσιν οὔροισιν ἐφίστανται πομφόλυγες, νεφριτικὰ ση-

μαίνουσι, καὶ μακρὴν τὴν ἀῤῥωστίην ἔσεσθαι.

Ὁκόσοισι δὲ λιπαρὴ ἡ ἐπίστασις ἦ, ἀθρόη, τουτέοισι νεφριτικὰ, καὶ ὀξέα σημαίνει.

Ὁκόσοισι δὲ νεφριτικοῖσιν ἐοῦσι τὰ προειρημένα συμβαίνει σημεῖα, πόνοι τε περὶ τοὺς μύας τοὺς ῥαχιαίους γίνονται, ἢν μὲν περὶ τοὺς ἔξω τόπους γίνωνται, ἀπόστημα προσδέχου ἐσόμενον ἔξω· ἢν δὲ μᾶλλον οἱ πόνοι πρὸς τοὺς εἴσω τόπους γίνωνται, καὶ τὸ ἀπόστημα προσδέχου ἐσόμενον μᾶλλον εἴσω.

Ὁκόσοι αἷμα ἐμέουσιν, ἢν μὲν ἄνευ πυρετοῦ, σωτήριον· εἰ δὲ ξὺν πυρετῷ, κακόν· θεραπεύειν δὲ τοῖσι ψυκτικοῖσι, καὶ τοῖσι στυπτικοῖσι.

Κατάῤῥοι ἐς τὴν ἄ-

que longum ſignificant.

Quib⁹ adipalis ſuperficies & conglobata, ijs renũ & acutũ morbũ ſignificat.

Quibus verò è renibus laborantibus prędicta accidunt ſigna, doloréſq; circa ſpinæ muſculos fiũt, ſiquidem circa loca exteriora, extrinſecus abſceſſum quoque futurum expecta: ſi verò circa interiora magis fiant, abſceſſum etiam intrinſecus potius futurum expecta.

Qui ſanguiné vomũt, ſi ſine febre, ſalutare: ſi cũ febre, malũ: curãdũ refrigerãtib⁹ & adſtringẽtib⁹.

Deſtillationes in vẽtrẽ ſuperiorẽ ſup-

purantur intra viginti dies.

νῳ κοιλίην ἐκπυοῦνται ἐν ἡμέρῃσιν εἴκοσιν.

Si quis ſanguinem & grumos meiat, & vrinæ ſtillicidio laboret, ad imum ventrẽ, & in pectine, ad veſicam loca male habere ſignificatur.

Ἢν οὐρέῃ αἷμα καὶ θρόμβους, καὶ στραγγουρίην ἔχῃ, καὶ ὀδύνη ἐμπίπτῃ ἐς τὸ περίναιον, καὶ τὸ ὑπογάστριον, καὶ τὸν κτένα, τὰ περὶ τὴν κύστιν νοσέειν σημαίνει.

Si derepentè lingua incontinens fiat, aut aliqua corporis pars ſtupore elangueſcat, eiuſmodi eſt melancholicum.

Ἢν ἡ γλῶσσα ἐξαίφνης ἀκρατὴς γένηται, ἢ ἀπόπληκτόν τι τοῦ σώματος, μελαγχολικὸν τὸ τοιοῦτο γίνεται.

Si ſenioribus ſupra modum purgatis ſingultus ſuperuenerit, non bonum.

Ἢν ὑπερκαθαιρομένων τῶν πρεσβυτέρων λὺγξ ἐπιγένηται, οὐκ ἀγαθόν.

Si febris non ex bile ſit orta, multa aqua eáque calida capiti ſuperfuſa, febrẽ ſoluit.

Ἢν πυρετὸς μὴ ἀπὸ χολῆς ἔχῃ, ὕδατος πολλοῦ καὶ θερμοῦ καταχεομένου κατὰ τῆς κεφαλῆς, λύσις τοῦ πυρετοῦ γίνεται.

Mulier non ſit ambidextra.

Γυνὴ ἀμφιδέξιος οὐ γίνεται.

Ὁκόσοι ἔμπυοι καίονται ἢ τέμνονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκόν, περιγίνονται· ἢν δὲ ὕφαιμον καὶ βορβορῶδες, καὶ δυσῶδες, ἀπόλλυνται.

Qui ſuppurati vruntur aut ſecantur, ſi purũ & album pus effluxerit, euadunt: ſi verò ſubcruentum, fæculétúmque ac fœtidum, intereunt.

Ὁκόσοι δὲ ἧπαρ διάπυον καίονται, ἢν μὲν τὸ πῦον καθαρὸν ῥυῇ καὶ λευκὸν, περιγίνονται. ἐν χιτῶνι γὰρ τὸ πῦον τουτέοισιν ἐστίν. ἢν δὲ οἷον ἀμόργη ῥυῇ, ἀπόλλυνται.

Quibus ſuppuratum iecur aduritur, ſi purum pus fluxerit & album, euadũt. in tunica enim ipſis pus continetur: ſi verò qualis amurca fluat, intereunt.

Ὀδύνας ὀφθαλμῶν ἄκρητον πότισας καὶ λούσας πολλῷ θερμῷ, φλεβοτόμει.

Dolores oculorũ poſt meri potum, & aquæ multæ calentis balneum, venæ ſectione curato.

Ὑδρωπιῶντα ἢν βὴξ ἔχῃ, ἀνέλπιστός ἐστι.

Si hydropicus tuſſiat, deſperatus eſt.

Στραγγουρίην καὶ δυσουρίην θώρηξις καὶ φλεβοτομίη λύει. τέμνειν δὲ τὰς ἔσω φλέβας.

Vrinæ ſtillicidium & meiendi difficultaté vini potio & venæ ſectio ſoluit. Incidendæ autẽ interiores.

Ab angina vexatis tumor & rubor in pectore superueniens, bonum. foras enim co͂uertitur morbus.

Ὑπὸ κυνάγχης ἐχομένῳ οἴδημα καὶ ἐρύθημα ἐν τῷ στήθει ἐπιγινόμενον, ἀγαθόν· ἔξω γὰρ τρέπεται τὸ νόσημα.

Quibus cerebrum sideratum est, intra tres dies intereunt: si verò hos superauerint, sani fiunt.

Ὁκόσοισιν ἂν σφακελισθῇ ὁ ἐγκέφαλος, ἐν τρισὶν ἡμέρῃσιν ἀπόλλυνται· ἢν δὲ ταύτας διαφύγωσιν, ὑγιέες γίνονται.

Sternutamentum fit ex capite, cerebro excalfacto, aut humectato inani quod in capite est. Aer enim intus contentus, foras erumpit. Strepit autem, quia per angustum ipsi est exitus.

Πταρμὸς γίνεται ἐκ τῆς κεφαλῆς, διαθερμαινομένου τοῦ ἐγκεφάλου, ἢ διϋγραινομένου τοῦ ἐν τῇ κεφαλῇ κενοῦ. ὑπερχεῖται γὰρ ὁ ἀὴρ ὁ ἐνεὼν ἔξω, ψοφεῖ δὲ ὅτι διὰ στενοῦ ἡ διέξοδος αὐτῷ ἐστίν.

Quibus hepar vndique dolet, ijs febris superuenie͂s, soluit dolorem.

Ὁκόσοισιν ἧπαρ περιοδυνᾶται, τουτέοισι πυρετὸς ἐπιγινόμενος λύει τὴν ὀδύνην.

Ὁκόσοισι συμφέρει αἷμα ἀφαιρεῖσθαι ἀπὸ τῶν φλεβῶν, τουτέοισι χρὴ ἦρος φλεβοτομεῖσθαι.

Quibus sanguinem à venis mittere confert, ijs vere secare venam oportet.

Ὁκόσοισι μεταξὺ τῶν φρενῶν καὶ τῆς γαστρὸς φλέγμα ἀποκλείεται, καὶ ὀδύνην παρέχει οὐκ ἔχον διέξοδον εἰς οὐδετέρην τῶν κοιλιῶν, τουτέοισι κατὰ τὰς φλέβας ἐς τὴν κύστιν τραπέντος τοῦ φλέγματος, λύσις γίνεται τῆς νούσου.

Quibus interventriculum & septum transuersum pituita conditur, & dolorem adfert, ad alterutrum vẽtrem exitum non habens, ijs per venas ad vesicã versa pituita, morbi fit solutio.

Ὁκόσοισιν αὖ τὸ ἧπαρ ὕδατος πλησθὲν εἰς τὸν ἐπίπλουν ῥαγῇ, τουτέοισιν ἡ κοιλίη ὕδατος ἐμπίμπλαται, καὶ ἀποθνήσκουσιν.

Quibus hepar aqua plenum in omẽtum eruperit, ijs venter aqua repletur, ac moriuntur.

Ἀλύκη, χάσμη, φρίκη, οἶνος ἴσος ἴσῳ πινόμενος, λύει τὴν νοῦσον.

Anxitudo, oscitatio, horror si adsit, vinum parpari potum soluit ęgritudinem.

Ὁκόσοισιν ἐν τῇ οὐρήθρῃ φῦμα γίνεται,

Quibus in meatu vrinario tuberculũ

gignitur, ijs ſuppuratione facta & eruptione dolor ſoluitur.

Quibus ex occaſione aliqua cerebrum fuerit cõcuſſum, mutos ꝓtinus fieri eſt neceſſe.

Corporibus humidas carnes habentibus, famẽ adhibere cõuenit: fames enim ſiccat corpora.

Vbi toto corpore mutatio, & corpus refrigeratur, & rurſus calefit, aut colorem alium ex alio cõmutat, morbi ſignificatur longitudo.

Sudor multus, calidus aut frigidus, ſemper fluens humorẽ; in robuſto quidẽ supernè, debili verò infernè ſignificat.

τουτέοισι διαπυήσαντος καὶ ἐκραγέντος, λύεται ὁ πόνος.

Ὁκόσοισι δ᾽ ἂν ὁ ἐγκέφαλος σεισθῇ ὑπό τινος προφάσιος, ἀνάγκη ἀφώνους γενέσθαι παραχρῆμα.

Τοῖσι σώμασι τοῖσιν ὑγρὰς τὰς σάρκας ἔχουσι δεῖ λιμὸν ἐμποιέειν· λιμὸς γὰρ ξηραίνει τὰ σώματα.

Ὁκου ἂν ἐν ὅλῳ τῷ σώματι μεταβολαὶ, καὶ τὸ σῶμα καταψύχηται, καὶ πάλιν θερμαίνηται, ἢ χρῶμα ἕτερον ἐξ ἑτέρου μεταβάλλῃ, μῆκος νούσου σημαίνει.

Ἱδρὼς πολὺς θερμὸς ἢ ψυχρὸς ῥέων αἰεὶ, σημαίνει ἔχειν πλησμονὴν ὑγροῦ. ἀπάγειν οὖν χρὴ, τῷ μὲν ἰσχυρῷ, ἄνωθεν· τῷ δὲ ἀσθενεῖ, κάτωθεν.

Οἱ πυρετοὶ οἱ μὴ διαλείποντες, ἢν ἰσχυρότεροι διὰ τρίτης γένωνται, ἐπικίνδυνοι· ὅτῳ δ' ἂν τρόπῳ διαλείπωσι, σημαίνει ὅτι ἀκίνδυνοι.

Si febres quæcunque nõ ĩtermittẽtes tertio quoq; die vehemẽtiores fiũt, periculosę: quoquo modo autem intermiserint, significãt se periculosas non esse.

Ὁκόσοισι πυρετοὶ μακροὶ, τουτέοισιν ἢ φύματα, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐγγίνονται.

Quibus febres lõgæ, ijs tubercula aut in articulis dolores fiunt.

Ὁκόσοισι φύματα μακρὰ, ἢ ἐς τὰ ἄρθρα πόνοι ἐκ πυρετοῦ γίνονται, οὗτοι σιτίοισι πλείοσι χρέονται.

Quibus tubercula diutina, aut in articulos dolores ex febre decumbunt, hi pleniore cibo vtuntur.

Ἢν τις τῷ πυρέσσοντι τροφὴν διδῷ, τῷ μὲν ὑγιαίνοντι ἰσχὺς, τῷ δὲ κάμνοντι νοῦσος.

Si quis febricitanti cibũ dederit, valenti quidem robur, ægrotanti verò morbus fit.

Τὰ διὰ τῆς κύστιος διαχωρέοντα ὁρᾷν δεῖ εἰ οἷα τοῖς ὑγιαίνουσιν ἀποχωρέεται· τὰ ἥκι-

Quæ per vesicam excernuntur inspicere oportet, an talia sint qualia sanis ex-

cernũtur. nã quę his minimè ſunt ſimilia ea morboſiora: quæ verò ſunt ſanis ſimilia, minimè morboſa.

Et quibus deiectiones ſi ſtare ſiueris, nec moueris, ſubſiſtũt veluti ſtrigmẽta, & ſi pauca ſint, paruus morb⁹ eſt, ſi verò multa, magnus, ijs aluũ infernè purgari cõfert: quòd ſi aluo nõ purgata ſorbitiones exhibueris, quo plures dederis, eo magis nocebis.

Quæ cruda deorſum ſecedunt, ab atra ſunt bile: ſi plura maior: ſi pauciora, minor morbus eſt.

Excreationes in febribus nõ intermittẽtibus liuidæ, cruẽ-

στα οὖν ὅμοια τουτέοισι, ταῦτα νοσωδέστερα· τὰ δὲ ὅμοια τοῖσιν ὑγιαίνουσιν, ἥκιστα νοσερά.

Καὶ οἷσι τὰ ὑποχωρήματα, ἢν ἐάσῃς στῆναι, καὶ μὴ κινήσῃς, οἷον ὑφίσαται ξύσματα, καὶ ἢν ὀλίγα ᾖ, ὀλίγη ἡ νοῦσος γίνεται· ἢν δὲ πολλὰ, πολλή, τουτέοισι ξυμφέρει ὑποκαθῆραι τὴν κοιλίην. ἢν δὲ μὴ καθαρὴν ποιήσας διδῷς τὰ ῥοφήματα, ὁκόσα ἂν πλείω διδῷς, μᾶλλον βλάψεις.

Ὁκόσα ἂν κάτω ὠμὰ διαχωρέῃ, ὅτι χολῆς μελαίνης ἐστὶν, ἢν πλείω, πλείων· ἢν δ' ἐλάσσω, ἐλάσσων ἡ νοῦσος.

Αἱ ἀποχρέμψιες αἱ ἐν τοῖσι πυρετοῖσι τοῖσι μὴ διαλείπουσιν αἱ

πελιδναὶ, καὶ αἱματώδεες, καὶ χολώδεες, καὶ δυσώδεες, πᾶσαι κακαί· ἀποχωρέουσαι δὲ καλῶς, ἀγαθαὶ, καὶ κατὰ κοιλίην, καὶ κύστιν· καὶ ὅκου ἄν τι ἀποχωρέον στῇ μὴ κεκαθαρμένον, κακόν.

Τὰ σώματα χρὴ ὅκου τις βούλεται καθαίρειν, εὔροα ποιέειν. κἢν μὲν ἄνω βούλῃ εὔροα ποιέειν, στῆσαι τὴν κοιλίην· ἢν δὲ κάτω, ὑγρῆναι.

Ὕπνος, ἀγρυπνίη, ἀμφότερα μᾶλλον τοῦ μετρίου γινόμενα, νοῦσος.

Ἐν τοῖσι μὴ διαλείπουσι πυρετοῖσιν, ἢν τὰ μὲν ἔξω ψυχρὰ ᾖ, τὰ δὲ ἔξω καίηται, καὶ δίψαν ἔχῃ, θανάσιμον.

Ἐν μὴ διαλείποντι πυρετῷ, ἢν χεῖλος, ἢ ῥὶς, ἢ ὀφθαλμὸς, ἢ ὀφρὺς διαστραφῇ, ἢν μὴ

tæ, bilioſæ, fœtidæ, omnes malę: cũ verò bene excernũtur, bonum eſt, & per ventrem & per veſicam: & vbi aliquid ſecedens ſteterit, nõ purgatum, malum.

Corpora vbi quis purgare volet, fluida faciat oportet: & ſi ſuprà, aluus ſiſtenda: ſi verò infrà, humectanda.

Somnus & vigilia vtraque modũ ſi exceſſerint, morbus.

In febribus non intermittentibus, ſi exteriora frigẽt, interiora vrũtur, & febris adſit, letale.

In febre non intermittente, ſi labrum, aut naſus, aut oculus, aut ſupciliũ peruertatur, ſi nõ vi-

deat, si nō audiat: & iam debilis est, quicquid horū acciderit, in ꝓpinquo mors est.

Albæ pituitæ aqua intercutem superuenit.

Ab alui profluuio, difficultas intestinorum.

Difficultati intestinorū superuenit eorundem læuitas.

A sideratione ossis abscessus.

A sanguinis vomitu tabes, & puris supernè purgatio.

Qualia fuerint vesicæ aut alui excreméta, & ex carnibus, & sicubi corpus à natura exierit, spectare oportet. Nā si parū, paruus morbus est: si multū, magnus: si valde multū, letale.

βλέπῃ, ἢ μὴ ἀκούῃ, ἤδη ἀσθενὴς ἐὼν, ὅ,τι ἂν τουτέων γίνηται, θανάσιμον.

Ἐπὶ λευκῷ φλέγματι, ὕδρωψ ἐπιγίνεται.

Ἐπὶ διαῤῥοίῃ, δυσεντερίη.

Ἐπὶ δυσεντερίῃ λειεντερίη ἐπιγίνεται

Ἐπὶ σφακελισμῷ, ἀπόστασις ὀστέου.

Ἐπὶ αἵματος ἐμέτῳ, φθόη, καὶ τοῦ πύου κάθαρσις ἄνω.

Ὁκοῖα καὶ ἐν τοῖσι κατὰ τὴν κύστιν, καὶ τοῖσι κατὰ τὴν κοιλίην ὑποχωρήμασι, καὶ ἐν τοῖσι κατὰ τὰς σάρκας, καὶ ἤν πη ἄλλῃ τῆς φύσιος ἐκβαίνῃ τὸ σῶμα, ἢν ὀλίγον, ὀλίγη ἡ νοῦσος γίνεται· ἢν δὲ πουλὺ, πολλή· ἢν πάνυ πολὺ, θανάσιμον τὸ τοιοῦτον.

ΤΕΛΟΣ.

# ΙΠΠΟΚΡΑ-
# τους προγνωστι-
# κόν.

Τὸν ἰητρὸν δοκέει μοι ἄριστον εἶναι, πρόνοιαν ἐπιτηδεύειν· προγινώσκων γὰρ καὶ προλέγων παρὰ τοῖσι νοσέουσι, τά τε παρεόντα, καὶ τὰ προγεγονότα, καὶ τὰ μέλλοντα ἔσεσθαι, ὁκόσα τε παραλείπουσιν οἱ ἀσθενέοντες, ἐκδιηγεύμενος, πιστεύοιτ᾽ ἂν μᾶλλον γινώσκειν τὰ τῶν νοσεόντων πρήγματα, ὥστε τολμᾶν ἐπιτρέπειν τοὺς ἀνθρώπους σφέας ἑωυτοὺς τῷ ἰητρῷ.

Τὴν δὲ θεραπείην ἄριστα ἂν ποιέοιτο, προειδὼς τὰ ἐσόμενα τῶν παθημάτων. ὑγιέας μὲν γὰρ ποιέειν ἅπαντας τοὺς ἀ-

# HIPPOCRA-
# tis progno-
# ſtica.

Medicũ prænotionem adhibere, optimũ eſſe mihi videtur. Pręnoſcens enim & prædicens apud ægrotos, & præſentia, & præterita, & futura, & quæ ægrotos prętereũt exponens, fidem vtique fecerit, quòd ægrotorum res magis cognoſcat, quare audebunt homines ſeipſos medico committere.

At verò curationẽ optimè fecerit, vbi prænouerit futuras affectiones. Sanos enim facere omnes

ęgrotos impoſsibile. hoc enim præſtãti⁹ eſſet q̃ pręnoſcere in poſterum euẽtura.

Quoniã verò homines moriũtur, alij priusq̃ medicũ vocẽt præ violẽtia morbi: alij accito etiã medico, repẽtè vita decedunt: quidã, vbi vnã vixerunt diẽ: quidã, tẽpore paulò diutiore, antequàm medic⁹ arte ſingulis morbis repugnet: itaque noſcẽdæ taliũ affectionũ naturæ, quantum corporum vires excedunt. Simul verò & ſi quid diuini in morbo ineſt, etiã huius prænotionẽ ediſcere. Ita enim meritò mirabilis, & medic⁹ bon⁹ fuerit. nã qui ſuperſtites mane-

σθενέοντας, ἀδύνατον· ὅσῳ δὲ τὸ προγινώσκειν τὰ μέλλοντα ἀποβήσεσθαι, κρεῖττον ἂν ἦν.

Ἐπειδὴ δὲ οἱ ἄνθρωποι ἀποθνήσκουσιν, οἱ μὲν πρὶν καλέσαι τὸν ἰητρὸν ὑπὸ ἰσχύος τῆς νούσου· οἱ δὲ, καὶ ἐσκαλεσάμενοι, παραχρῆμα ἐτελεύτησαν· οἱ μὲν, ἡμέρην μίην ζήσαντες· οἱ δὲ, ὀλίγῳ πλέονα χρόνον, πρὶν ἢ τὸν ἰητρὸν τῇ τέχνῃ πρὸς ἕκαστον νόσημα ἀνταγωνίσασθαι· γνόντα οὖν χρὴ τῶν παθέων τῶν τοιουτέων τὰς φύσιας, ὁκόσον ὑπὲρ τὴν δύναμίν εἰσι τῶν σωμάτων· ἅμα δὲ καὶ εἴ τι θεῖον ἔνεστιν ἐν τῇσι νούσοισι, καὶ τούτου τὴν πρόνοιαν ἐκμανθάνειν. οὕτω γὰρ ἂν θαυμάζοιτό τε δικαίως, καὶ ἰητρὸς ἀγαθὸς ἂν εἴη· καὶ γὰρ οὓς οἷόν τε περιγίνεσθαι, τούτους

ἔτι μᾶλλον δύναιτ' ἂν
ὀρθῶς διαφυλάσσειν, ἐκ
πλείονος χρόνου προβου-
λευόμενος πρὸς ἕκαστα·
καὶ τοὺς ἀποθανουμένους
τε καὶ σωθησομένους προ-
γινώσκων τε καὶ προαγο-
ρεύων, ἀναίτιος ἂν εἴη.
Σκέπτεσθαι δὲ χρὴ ὧδε·
ἐν τοῖσιν ὀξέσι νοσήμα-
σι, πρῶτον μὲν τὸ πρόσω-
πον τοῦ νοσέοντος, εἰ ὅ-
μοιόν ἐστι τοῖσι τῶν ὑγιαι-
νόντων· μάλιστα δὲ, εἰ αὐ-
τὸ ἑωυτῷ. οὕτω γὰρ ἂν εἴη
ἄριστον· τὸ δ' ἐναντιώτα-
τον τοῦ ὁμοίου, δεινότα-
τον. εἴη δ' ἂν τὸ τοιόν-
δε· ῥὶς ὀξεῖα, ὀφθαλ-
μοὶ κοῖλοι, κρόταφοι
ξυμπεπτωκότες, ὦτα
ψυχρὰ καὶ ξυνεσταλμέ-
να, καὶ οἱ λοβοὶ τῶν ὤτων
ἀπεστραμμένοι, καὶ τὸ δέρ-
μα τὸ περὶ τὸ μέτωπον
σκληρόν τε καὶ περιτετα-
μένον, καὶ καρφαλέον ἐ-

repoſsunt, eos adhuc
magis rectè conſer-
uare poterit, ex mul
to tempore antea cō
ſiliū adhibēs ad ſin-
gula: & tum moritu
ros, tum ſeruandos
prænoſcēs ac prædi-
cens, inculpatꝰ erit.

Cōſiderādū verò
ſic: in morbis acutis,
primùm faciē ęgro-
ti, ſimilísne ſit faciei
ſanorū, maximè ve
rò ipsáne ſibiipſi. ita
enim optima fuerit.
ſin illi diſſimillima
fuerit, horrēdiſsima
eſt. Talis autē fuerit,
naſus acutꝰ, oculi ca
ui, tēpora collapſa,
aures frigidę ac con
tractæ, & extremi-
tates aurium auer-
ſæ, & cutis circa frō
tem dura & circun-
tenta ac arida, & co-

lor totius faciei pallidus, aut etiam niger, & liuidus, aut plumbeus. Si igitur in principio morbi, facies talis fuerit, & nondũ ex alijs ſignis coniectura̅ facere licuerit, ĩterrogare oportet, nũ vigilauerit homo, aut alui excremēta valde liquida ſint, aut fames aliqua ipſum teneat. Et ſi quidē horum aliquid cõfiteatur, minus graue eſſe putãdũ eſt. Iudicantur autē & cognoſcũtur talia ĩ die ac nocte, ſi ob has cauſas facies talis fuerit. Si verò nihil horum eſſe dicat, neque in prædicto tēpore confidat, noſſe conuenit morti proximum eſſe. at

ον, καὶ τὸ χρῶμα τοῦ ξύμπαντος προσώπου χλωρόν ἐστι, ἢ καὶ μέλαν ἐόν, καὶ πελιὸν, ἢ μολιβδῶδες. ἢν μὲν οὖν ἐν ἀρχῇ τῆς νούσου, τὸ πρόσωπον τοιοῦτον ᾖ, καὶ μήπω οἷόν τε ᾖ τοῖσιν ἄλλοισι σημείοισι ξυντεκμαίρεσθαι, ἐπανερέσθαι χρή, μὴ ἠγρύπνησεν ὥνθρωπος, ἢ τὰ τῆς κοιλίης ἐξυγρασμένα ᾖ ἰσχυρῶς, ἢ λιμῶδές τι ἔχῃ αὐτόν. κἢν μέν τι τουτέων ὁμολογῇ, ἧσσον νομίζειν δεινὸν εἶναι. κρίνεται δὲ τὰ τοιαῦτα ἐν ἡμέρῃ τε καὶ νυκτὶ, ἢν διὰ ταύτας τὰς προφάσιας τὸ πρόσωπον τοιοῦτον ᾖ. ἢν δὲ μηδὲν τουτέων φῇ εἶναι, μηδὲ ἐν τῷ χρόνῳ τῷ προειρημένῳ καταστῇ, εἰδέναι χρὴ ἐγγὺς ἐόντα τοῦ θανάτου. ἢν

δὲ καὶ παλαιτέρου ἐόντος τοῦ νοσήματος, ἢ τριταίου, ἢ τεταρταίου, τὸ πρόσωπον τοιοῦτον ᾖ, περὶ τουτέων ἐπανέρεσθαι περὶ ὧν καὶ πρότερον ἐκέλευσα.

Καὶ τἄλλα σημεῖα σκέπτεσθαι, τά τε ἐν τῷ ξύμπαντι προσώπῳ, τά τε ἐν τῷ σώματι, καὶ τὰ ἐν τοῖσιν ὀφθαλμοῖσιν. ἢν γὰρ τὴν αὐγὴν φεύγωσιν, ἢ δακρύωσιν ἀπροαιρέτως, ἢ διαστρέφωνται, ἢ θάτερος θατέρου ἐλάσσων γίνηται, ἢ τὰ λευκὰ ἐρυθρὰ ἴσχωσιν, ἢ πελιὰ φλέβια ἢ μέλανα ἐν αὐτέοισιν ἔχωσιν, ἢ λῆμαι φαίνωνται περὶ τὰς ὄψιας, ἢ καὶ ἐναιωρεύμενοι, ἢ ἐξίσχοντες, ἢ ἔγκοιλοι ἰσχυρῶς γινόμενοι, ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπεῖς,

ſi vetuſtiore exiſtente morbo, aut triduano, aut quatriduano, talis fuerit facies, de his interrogare oportet, de quibus etiã prius iusſi.

Itémque alia ſigna conſiderare, & in vniuerſa facie, & in corpore, & in oculis. Si enim lucem fugiant, aut inuoluntariè lachrymentur, aut diſtorqueantur, aut alter altero minor fiat, aut albas partes rubentes habeãt, aut venulas liuidas aut nigras in ipſis habeãt, aut lemæ ac ſordes circa oculos appareãt, aut etiã ĩſtabiles, aut eminẽtes, aut caui vehemẽter facti, aut ſquallẽtes & obſcuri fuerĩt,

aut color totius faciei alteratus fuerit: hæc omnia mala & perniciosa esse putandum est.

Consideráda verò & quæ in oculis subapparét in somnis. si enim ex albo quid apparuerit, palpebris non commissis, si id nõ ex alui profluuio, aut medicaméti potione fuerit, aut ægrotus nõ ita dormire cõsueuerit, malũ signũ & valde letale.

Si verò retorta aut contracta fiat, aut liuida, aut pallida palpebra, aut labiũ, aut nasus, cũ aliquo ex alijs signis, morti ꝓximũ esse scito.

Letale est etiã habere labia resoluta, & pẽdentia, & frigida,

ἢ δὲ χρῶμα τοῦ ξύμπαντος προσώπου ἠλλοιωμένον ᾖ, ταῦτα πάντα κακὰ νομίζειν καὶ ὀλέθρια εἶναι.

Σκοπεῖν δὲ χρὴ καὶ τὰς ὑποφάσιας τῶν ὀφθαλμῶν ἐν τοῖσιν ὕπνοισιν· ἢν γάρ τι ὑποφαίνηται τοῦ λευκοῦ, τῶν βλεφάρων μὴ ξυμβαλλομένων, μὴ ἐκ διαῤῥοίης, ἢ φαρμακοποσίης ἐόντι, ἢ μὴ εἰθισμένῳ οὕτω καθεύδειν, φλαῦρον τὸ σημεῖον, καὶ θανατῶδες λίαν.

Ην δὲ καμπύλον ἢ ῥικνὸν γένηται, ἢ πελιὸν, ἢ ὠχρὸν βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, μετά τινος τῶν ἄλλων σημείων, εἰδέναι χρὴ, ἐγγὺς ἐόντα θανάτου.

Θανατῶδες δὲ καὶ χείλεα ἀπολυόμενα, καὶ κρεμάμενα, καὶ ψυχρὰ,

καὶ ἔκλευκα γινόμενα.

& albicantia facta.

Κεκλιμένον δὲ χρὴ καταλαμβάνεσθαι τὸν νοσέοντα ὑπὸ του ἰητροῦ, ἐπὶ τὸ πλευρὸν τὸ δεξιὸν, ἢ τὸ ἀριστερὸν, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ὀλίγον ἐπικεκαμμένα ἔχοντα, καὶ τὸ ξύμπαν σῶμα ὑγρὸν κείμενον. οὕτω γὰρ καὶ οἱ πλεῖστοι τῶν ὑγιαινόντων κατακλίνονται.

Decumbentem ægrotum à medico deprehendi conuenit, latus dextrum aut sinistrum, & manus, & collum, & crura modicè inflexa habentẽ, & totum corpus, flexibile situm. Ita enim plurimi ex sanis decumbunt.

Ἄρισται δέ εἰσι τῶν κατακλίσεων αἱ ὅμοιαι τῇσι τῶν ὑγιαινόντων. ὕπτιον δὲ κεῖσθαι, καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἐκτεταμένα ἔχοντα, ἧσσον ἀγαθόν.

Optimi autem sunt decubitus qui sanorũ decubitibus similes existũt. At verò supinũ iacere, & manus, & collũ, & crura extenta habere, minus bonum est. Si verò

Εἰ δὲ καὶ προπετὴς γένοιτο, καὶ καταῤῥέοι ἀπὸ τῆς κλίνης ἐπὶ πόδας, δεινότερόν ἐστιν.

etiam pronus fiat, & de lecto ad pedes delabatur, magis horrendum est.

Εἰ δὲ καὶ γυμνοὺς τοὺς πόδας εὑρίσκοιτο ἔχων μὴ θερμοὺς κάρτα

Si verò nudos quoq; pedes habere cõperiatur, nec admodũ

calidos:& manus,& collum,ac crura inęqualiter diſiecta,ac nuda,malum eſt. anxietatẽ enim ſignificat.

ἐόντας· καὶ τὰς χεῖρας, καὶ τὸν τράχηλον, καὶ τὰ σκέλεα ἀνωμάλως διεῤῥιμμένα καὶ γυμνὰ, κακὸν· ἀλυσμὸν γὰρ σημαίνει.

Letale autẽ eſt & hiantem ſemper dormire:& crura ſupini iacentis valde incuruata eſſe ac complicata. At in ventrem decũbere, ſi quis nõ ſit adſuetus dum ſanus fuit, ita dormire, delirium ſignificat, aut dolorem locorum circa ventrẽ.

Θανατῶδες δὲ, καὶ τὸ κεχηνότα καθεύδειν αἰεὶ, καὶ τὰ σκέλεα ὑπτίου κειμένου ξυγκεκαμμένα εἶναι ἰσχυρῶς, καὶ διαπεπλεγμένα. τὸ ἐπὶ γαστέρα δὲ κεῖσθαι, ᾧ μὴ συνηθές ἐστι καὶ ὑγιαίνοντι οὕτω κοιμᾶσθαι, παραφροσύνην τινὰ σημαίνει, ἢ ὀδύνην τῶν ἀμφὶ τὴν κοιλίην τόπων.

Cæterùm erectũ ſedere velle ægrum, in morbi vigore, in omnibus morbis acutis malum eſt: peſſimum autem in peripneumonicis

Ανακαθίζειν δὲ βούλεσθαι τὸν νοσέοντα, τῆς νούσου ἀκμαζούσης, πονηρὸν μὲν ἐν πᾶσι τοῖς ὀξέσι νοσήμασι, κάκιστον δὲ ἐν τοῖσι περιπλευμονικοῖσιν.

Dẽtibus ſtridere in

Ὀδόντας δὲ πρίειν ἐν

πυρετοῖσιν, ὁκόσοισι μὴ ξυνήθεές ἐστιν ἀπὸ παίδων, μανικὸν καὶ θανατῶδες, ἀλλὰ προλέγειν ἀπ' ἀμφοῖν κίνδυνον ἐσόμενον· ἢν δὲ καὶ παραφρονέων τοῦτο ποιῇ, ὀλέθριον γίνεται κάρτα ἤδη.

Ἕλκος δὲ ἤν τε καὶ προγεγονὸς τύχῃ ἔχων, ἤν τε καὶ ἐν τῇ νούσῳ γίνηται, καταμανθάνειν δεῖ· ἢν γὰρ μέλλῃ ἀπόλλυσθαι ὁ ἄνθρωπος, πρὸ τοῦ θανάτου, πελιδνόν τε καὶ ξηρὸν ἔσται, ἢ ὠχρόν τε καὶ ξηρόν.

Περὶ δὲ χειρῶν φορῆς, τάδε γινώσκω· ὁκόσοισιν ἐν πυρετοῖσιν ὀξέσιν, ἢ περιπλευμονίῃσιν, ἢ φρενίτισιν, ἢ ἐν κεφαλαλγίῃσι, πρὸ τοῦ προσώπου φερωμένας καὶ θηρευούσας διὰ

febribus, quibus nõ familiare id est à pueris, furiosum ac letale est. Verùm prędicere oportet ab vtrisque periculum futurũ. Si verò etiã delirus hoc faciat, perniciosum valde iam existit.

Vlcus autem siue prius factum fuerit, siue in morbo accesserit, considerare oportet. Si enim moriturus est homo, ante mortem liuidum ac siccum erit, aut etiã pallidum & siccum.

At verò de manuum motione ita sentio. quæ in febribus acutis, aut peripneumonijs, aut in phrenitide, aut capitis dolore, ante faciem feruntur, & frustra ve-

nantur, & feſtucas legunt, & floccos de veſtibus euellunt, & de pariete paleas detrahunt, eas omnes malas & letales eſſe.

Spiritus denſus dolorem ſignificat, aut inflammationem, in locis ſupra ſeptum trãſuerſum: qui verò magnus expiratur, & per multũ temporis interuallum, delirium indicat. Si verò frigidus è naſo & ore expiretur, valde iã pernicioſꝰ eſt.

Bonã autẽ ſpirationẽ valde magnã vim habere ad ſalutẽ, in omnibus acutis morbis putare conuenit, qui cũ febribus ſunt, & ĩ quadraginta diebus iudicantur.

Sudores optimi ſũt ĩ omnibꝰ acutis mor

κενῆς, καὶ ἀποκαρφολογούσας, καὶ κροκίδας ἀπὸ τῶν ἱματίων ἀποτιλλούσας, καὶ ἀπὸ τοῦ τοίχου ἄχυρα ἀποσπώσας, πάσας εἶναι κακὰς καὶ θανατώδεας.

Πνεῦμα δὲ, πυκνὸν μὲν ἐὸν, πόνον σημαίνει, ἢ φλεγμονὴν, ἐν τοῖσιν ὑπὲρ τῶν φρενῶν χωρίοισι· μέγα δὲ ἀναπνεόμενον καὶ διὰ πολλοῦ χρόνου, παραφροσύνην δηλοῖ. ψυχρὸν δὲ ἐκπνεόμενον ἐκ τῶν ῥινῶν καὶ τοῦ στόματος, ὀλέθριον κάρτα ἤδη γίνεται.

Εὔπνοιαν δὲ χρὴ νομίζειν κάρτα μεγάλην δύναμιν ἔχειν ἐς σωτηρίην ἐν ἅπασι τοῖσιν ὀξέσι νοσήμασιν, ὅσα ξὺν πυρετοῖσίν ἐστι, καὶ ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται.

Οἱ δὲ ἱδρῶτες, ἄριστοι μὲν εἰσιν ἐν πᾶσι τοῖς

ὀξέσι νοσήμασιν, ὁκό-
σοι ἂν ἡμέρῃσι ἐν κρισί-
μοισι γίνονται, καὶ τελέ-
ως τὸν πυρετὸν ἀπαλ-
λάττουσιν· ἀγαθοὶ δὲ καὶ
ὁκόσοι διὰ παντὸς τοῦ
σώματος γινόμενοι, ἀ-
πέδειξαν τὸν ἄνθρωπον
εὐπετέστερον φέροντα
τὸ νόσημα. οἳ δ' ἂν μὴ
τούτων τι ἐργάσωνται,
οὐ λυσιτελέες· κάκιστοι δὲ
οἱ ψυχροί τε καὶ μοῦνον
περὶ τὴν κεφαλήν τε καὶ
τὸ πρόσωπον γινόμενοι
καὶ τὸν αὐχένα. οὗτοι γὰρ
ξὺν μὲν ὀξεῖ πυρετῷ θά-
νατον προσημαίνουσι·
ξὺν δὲ πρηϋτέρῳ, μῆ-
κος νούσου. καὶ οἱ κατὰ
πᾶν τὸ σῶμα ὡσαύτως
γινόμενοι, τοῖσι περὶ
τὴν κεφαλήν. οἱ δὲ κεγ-
χροειδέες, καὶ μοῦνον περὶ
τὸν τράχηλον γινόμενοι,
πονηροί. οἱ δὲ μετὰ στα-
λαγμῶν καὶ ἀτμίζον-
τες, ἀγαθοί. κατανοεῖν

bis, qui in dieb⁹ iudi
catorijs fiũt, & febrẽ
pfecte submouẽt. Bo
ni verò sunt, qui p to
tum corpus fiũt, & ho
minẽ facilius morbũ
ferre faciũt. Qui ve
rò tale quid nõ effe-
cerint, incommodi
sunt. Pessimi autem
sunt frigidi, & q tãtũ
circa caput & faciem
fiunt, & circa cerui-
cem. Hi enim cum
acuta quidem febre,
mortem præsignifi-
cant: cum mitiore ve
rò, longitudinẽ mor
bi. Et qui per totum
corpus fiunt, simi-
liter significãt ac ij
qui circa caput. At
verò milioformes,
& qui solũ circa col
lum fiunt, mali sunt.
Qui verò cũ guttis
fiunt, & euaporãt, bo
ni sunt. Cõsiderare

porrò cõuenit ſudores in sũma. fiũt enim aliqui ꝓpter corporũ exolutionem, aliqui propter inflãmationis vigorem.

Præcordium optimum eſt doloris exors, & molle, & æquale, tum in dextra, tum in ſiniſtra parte. At inflãmatũ, aut dolorẽ exhibẽs, aut intentũ, aut dextrę partes ĩęqualiter affectæ ad ſiniſtras: hæc õnia obſeruare oportet. Si verò etiã pulſus inerit in præcordio, turbationẽ ſignificat aut deliriũ.

Verũ oculos taliũ inſuper intueri oportet. Si enĩ oculi frequenter moueãtur, furioſos hos fore timor eſt. Tumor in

δὲ χρὴ τὸ σύνολον τῶν ἱδρώτων· γίνονται γὰρ, οἱ μὲν δι᾽ ἔκλυσιν σωμάτων, οἱ δὲ διὰ συντονίην φλεγμονῆς.

Ὑποχόνδριον δὲ, ἄριστον μὲν, ἀνώδυνόν τε ἐὸν, καὶ μαλθακὸν, καὶ ὁμαλὸν, καὶ ἐπὶ δεξιὰ, καὶ ἐπ᾽ ἀριστερά. φλεγμαῖνον δὲ, ἢ ὀδύνην παρέχον, ἢ ἐντεταμένον, ἢ ἀνωμάλως διακείμενα τὰ δεξιὰ πρὸς τὰ ἀριστερὰ, ταῦτα πάντα φυλάσσεσθαι χρή. εἰ δὲ καὶ σφυγμὸς ἐνείη ἐν τῷ ὑποχονδρίῳ, θόρυβον σημαίνει, ἢ παραφροσύνην.

Ἀλλὰ τοὺς ὀφθαλμοὺς ἐπικατιδεῖν τῶν τοιουτέων· ἢν γὰρ αἱ ὄψιες πυκνὰ κινέωνται, μανῆναι τούτοις ἐλπίς. οἴδημα δὲ ἐν τῷ ὑπο-

χονδρίῳ σκληρόν τε ἐὸν καὶ ἐπώδυνον· κάκιστον μὲν, εἰ παρ' ἅπαν εἴη τὸ ὑποχόνδριον. εἰ δὲ εἴη ἐν τῷ ἑτέρῳ μέρει, ἀκινδυνότερόν ἐστιν ἐν τῷ ἐπ' ἀριστερά.

pręcordio durus existés & dolorosus, pessimꝰ quidé est si ꝑ totũ fuerit pręcordiũ: si verò fuerit in altera parte, minus periculosꝰ est in sinistra.

Σημαίνει δὲ τὰ τοιαῦτα οἰδήματα, ἐν ἀρχῇ μὲν θάνατον ὀλιγοχρόνιον ἔσεσθαι· ἢν δὲ ὑπερβάλλῃ εἴκοσιν ἡμέρας ὅ, τε πυρετὸς ἔχων, καὶ τὸ οἴδημα μὴ καθιστάμενον, ἐς διαπύησιν τρέπεται.

Significãt autem eiusmodi tumores, in principio quidé, mortem breui affuturam: si verò viginti dies trãsgrediatur, tum febris detinens, tum tumor non cõsidens ad suppurationem conuertitur:

Γίνεται δὲ τουτέοισιν ἐν τῇ πρώτῃ περιόδῳ, καὶ αἵματος ῥῆξις ἐκ τῶν ῥινῶν, καὶ κάρτα ὠφελέει.

Contingit autem his in primo circuitu, etiam sanguinis eruptio ê naribus, & valde prodest.

Ἀλλ' ἐπανερωτᾷν χρὴ, εἰ τὴν κεφαλὴν ἀλγέουσιν, ἢ ἀμβλυώσσουσιν. ἢν γάρ τι τοιοῦτον εἴη, ἐνταῦθα ῥέποι.

Verũ interrogare conuenit, an caput doleant, aut hebeté visum habeant. Si enim horũ quid fuerit, ad eum locũ repit.

magis tamē in iunioribus v. ac xxx. annis sanguinis eruptionē expectare conuenit.

Molles verò tumores, & doloris expertes, & digito cedētes diuturniores iudicationes faciūt, & min⁹ illis sunt horrēdi. Si trāsgreditur lx. dies febris detinēs, & tumor nō cōsidit, suppuraturū significat & hūc & eū qui in reliquo vētre est eodē modo. Qui igitur tumores dolorosi sunt, duri, & magni, periculū mortis breui af fore significāt: at qui molles, & doloris expertes sunt, & digito cōpressi cedunt, diuturniores illis sunt.

Cæterū tumores in vētre minus faciunt abscessus, ijs qui sunt

μᾶλλον δὲ τοῖσι νεωτέροισι πέντε καὶ τριήκοντα ἐτέων, τὴν τοῦ αἵματος ἐκρῆξιν προσδέχεσθαι χρή.

Τὰ δὲ μαλθακὰ τῶν οἰδημάτων καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ ὑπείκοντα, χρονιωτέρας τὰς κρίσιας ποιέεται, καὶ ἧσσον ἐκείνων δεινότερά ἐστιν. εἰ δὲ ὑπερβάλλει ἑξήκοντα ἡμέρας ὁ τὸν πυρετὸν ἔχων, καὶ τὸ οἴδημα μὴ καθίσταται, ἔμπυον ἔσεσθαι σημαίνει καὶ τοῦτο καὶ τὸ ἐν τῇ ἄλλῃ κοιλίῃ κατὰ τωὐτό. ὁκόσα μὲν οὖν ἐπώδυνά τέ ἐστι, καὶ σκληρά, καὶ μεγάλα, σημαίνει κίνδυνον θανάτου ὀλιγοχρόνιον. ὁκόσα δὲ μαλθακά τε καὶ ἀνώδυνα, καὶ τῷ δακτύλῳ πιεζόμενα ὑπείκει, χρονιώτερα ἐκείνων.

Τὰς δὲ ἀποστάσιας ἧσσον τὰ ἐν τῇ γαστρὶ οἰδήματα ποιέεται, τῶν ἐν

τοῖσιν ὑποχονδρίοισιν·
ἥκιστα δὲ τὰ ὑποκάτω
τοῦ ὀμφαλοῦ εἰς ἀποπύ-
ησιν τρέπεται. αἵματος δὲ
ῥῆξιν ἐκ τῶν ἄνω τόπων
μάλιστα προσδέχεσθαι.

Απάντων δὲ χρὴ τῶν οἰ-
δημάτων χρονιζόντων
περὶ ταῦτα τὰ χωρία,
ὑποσκέπτεσθαι τὰς ἐκπυ-
ήσιας. τὰ δὲ διαπυήμα-
τα ὧδε δεῖ σκέπτεσθαι τὰ
ἐντεῦθεν. ὁκόσα μὲν ἔξω
τρέπεται, ἄριστά ἐστι, μι-
κρά τε ἐόντα, καὶ ὡς μάλι-
στα ἐκκλίνοντα ἔξω, καὶ ἐς
ὀξὺ ἀποκυρτούμενα· τὰ
δὲ μεγάλα τε ἐόντα καὶ
πλατέα, καὶ ἥκιστα ἐς ὀ-
ξὺ ἀποκορυφούμενα,
κάκιστα· ὅσα δὲ εἴσω ῥή-
γνυται, ἄριστά ἐστιν, ἃ μη-
δὲν τῷ ἔξω χωρίῳ ἐπι-
κοινωνέει, ἀλλ' ἐστὶ προ-
εσταλμένα τε καὶ ἀνώδυ-
να. καὶ πᾶν τὸ ἔξω χωρί-
ον, ὁμόχροον φαίνεται.

in præcordijs. Mini-
mè verò qui sub vm-
bilico sunt, ad suppu-
rationẽ cõuertũtur.
at sãguinis eruptio,
ex supernis locis ma-
ximè expectanda.

Omniũ autẽ tumo-
rũ diuturnorũ circa
hos locos, suppuratio
cõsiderãda. Sũt autẽ
suppurationes quæ
hinc fiunt, hoc modo
cõsiderãdæ: quæ ex-
tra vertũtur, optimæ
sunt, eęq; paruę, & q̃
maximè foras eminẽ-
tes, & in acutũ fasti-
giatæ: quæ verò ma-
gnæ sunt, & latæ, &
minimè in acutũ fa-
stigiatæ, eæ pessimę.
quę verò intro rũpũ-
tur, optimæ sũt, quæ
nil cũ externo loco
cõmunicãt sed sunt
cõtractæ, & sine do-
lore, & tot⁹ externus loc⁹ cõcolor apparet.

At verò pus optimũ est, si est albũ & æquale, & læue, & q̃ minimè graueolẽs: quod verò huic cõtrariũ est, pessimũ.

Aquæ porrò inter cutẽ, ex acutis morbis abortę, omnes malæ sunt. neq; enim à febre liberãt, & valde dolorosæ sũt, ac letales. Incipiũt autẽ plerę q; à laterũ mollitie, et à lũbis: aliquę verò etiã ab hepate.

Quibus igitur à laterũ mollitudine & lũbis principia fiunt, his & pedes intumescũt, & alui pfluuia diuturna ipsos tenent, quæ neque dolores ex laterũ mollitudine ac lũbis soluũt, et vẽtrẽ molliũt. quib⁹ verò ab hepate

Τὸ δὲ πῦον, ἄριστον λευκόν τε εἶναι, καὶ ὁμαλὸν, καὶ λεῖον, καὶ ὡς ἥκιστα δυσῶδες· τὸ δὲ ἐναντίον τουτέου, κάκιστον.

Οἱ δὲ ὕδρωπες, οἱ ἐκ τῶν ὀξέων νοσημάτων πάντες κακοί. οὔτε γὰρ τοῦ πυρὸς ἀπαλλάσσουσιν, ἐπώδυνοί τε εἰσὶ κάρτα καὶ θανατώδεες. ἄρχονται δὲ οἱ πλεῖστοι, ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος. οἱ δὲ ἀπὸ τοῦ ἥπατος.

Οἷσι μὲν οὖν ἀπὸ τῶν κενεώνων καὶ τῆς ὀσφύος αἱ ἀρχαὶ γίνονται, οἵ τε πόδες οἰδέουσι, καὶ διάῤῥοιαι πολυχρόνιοι ἔχουσιν, οὔτε τὰς ὀδύνας λύουσαι τὰς ἐκ τῶν κενεώνων καὶ τῆς ὀσφύος, οὔτε τὴν γαστέρα λαπάσσουσαι. ὁκόσοισι δὲ ἀπὸ τοῦ ἥπατος ὕδρωπες

πες γίνονται, βῆχές τε
καὶ θυμὸς τούτοισιν ἐγ-
γίνεται, καὶ οὐδέν τι
ἀποπτύουσιν ἄξιον λό-
γου, καὶ οἱ πόδες οἰδέ-
ουσι, καὶ ἡ γαστὴρ οὐ διε-
χωρέει, εἰ μὴ σκληρά
τε καὶ πρὸς ἀνάγκην· καὶ
περὶ τὴν κοιλίην γίνον-
ται οἰδήματα, τὰ μὲν
ἐπὶ δεξιὰ, τὰ δ' ἐπ' ἀ-
ριστερὰ, ἱστάμενά τε καὶ
καταπαυόμενα.

Κεφαλὴ δὲ, καὶ χεῖρες
καὶ πόδες ψυχρὰ ἐόν-
τα, κακὸν, τῆς τε κοι-
λίης, καὶ τῶν πλευρῶν,
θερμῶν ἐόντων· ἄριστον
δ' ἐστὶ καὶ ὅλον τὸ σῶμα, θερ-
μόν τε ἐὸν, καὶ μαλ-
θακόν.

Στρέφεσθαι δ' ἐστὶ χρὴ ῥηϊ-
δίως τὸν ἀλγοῦντα, καὶ
ἐν τοῖσι μετεωρισμοῖ-
σιν ἐλαφρὸν εἶναι· εἰ δὲ
βαρὺς ἐὼν φαίνοιτο, καὶ
τὸ ἄλλο σῶμα καὶ τὰς

aquæ inter cutem o-
riuntur, his tuſſes tuſ
ſiendíq; prõptitudo
accedit, & nihil me-
morabile expuũt, &
pedes tument, & ven
ter nõ egerit niſi du
ra, & coactus: & cir-
ca aluum fiũt tumo
res, aliqui in dextra,
aliqui in ſiniſtra par
te, tum conſiſtentes,
tum conſidentes.

Caput autẽ & ma-
nus, & pedes, ſi frigi-
da ſunt, malum eſt,
vbi & venter, & late
ra calida ſunt: opti-
mum vero eſt & totũ
corpus calidum eſſe,
ac molle.

Cõuerti autem fa
cilè conuenit ægro-
tum, & in attollẽdo
ſe leuem eſſe. Si verò
grauis eſſe appareat,
& reliquo corpore,

manibus, & pedibus, magis periculosum est.

Si verò supra grauitatẽ vngues & digiti liuidi fiãt, mors euestigio expectãda est: at si digiti ac pedes penitus nigrescãt, minus perniciosi sunt quàm liuidi.

Verùm & alia signa considerare oportet. Si enim facilè ferre videatur malum, & aliud quoddam ex salutaribus ad hæc signa subindicet, morbum ad abscessum verti spes est: ita vt æger quidẽ supstes mansurus sit, corporis verò partes nigræ factæ, casuræ.

Testes & pudenda reuulsa, dolores fortes significant, &

χεῖρας καὶ τοὺς πόδας, ἐπικινδυνώτερον.

Εἰ δὲ πρὸς τῷ βάρει καὶ οἱ ὄνυχες καὶ οἱ δάκτυλοι πελιδνοὶ γίνονται, προσδόκιμος ὁ θάνατος παραυτίκα· μελαινόμενοι δὲ παντελῶς οἱ δάκτυλοι, καὶ οἱ πόδες, ἧσσον ὀλέθριοι τῶν πελιδνῶν εἰσιν.

Ἀλλὰ καὶ τἄλλα σημεῖα σκέπτεσθαι χρή· ἢν γὰρ εὐπετέως φέρων φαίνηται τὸ κακὸν, καὶ ἄλλο τι τῶν περιεστηκότων πρὸς τουτέοισι τοῖσι σημείοισιν ἀποδεικνύῃ, τὸ νόσημα ἐς ἀπόστασιν τραπῆναι ἐλπίς· ὥστε τὸν μὲν ἄνθρωπον περιγίνεσθαι, τὰ δὲ μελανθέντα τοῦ σώματος ἀποπεσεῖν.

Ὄρχιες δὲ καὶ αἰδοῖα ἀνεσπασμένα, πόνους ἰσχυροὺς σημαίνει, καὶ

κίνδυνον θανατώδεα.

periculum letale.

Περὶ δὲ ὕπνων, ὥσπερ κατὰ φύσιν σύνηθές ἡμῖν ἐστὶ, τὴν μὲν ἡμέρην ἐγρηγορέναι χρή· τὴν δὲ νύκτα, καθεύδειν.

Quòd verò ad ſõnos attinet, quemadmodũ ſecundum naturam cõſuetum nobis eſt, interdiu vigilare oportet, noctu dormire.

Ἢν δὲ εἴη τοῦτο μεταβεβλημένον, κάκιον. ἥκιστα δ' ἂν λυπέοι, εἰ κοιμῷτο τὸ πρωῒ ἐς τὸ τρίτον μέρος τῆς ἡμέρης.

Si verò hoc fuerit trãſmutatum, peius eſt. Minimè verò lædi ęger poterit, ſi dormiat manè ad tertiã partem diei.

Οἱ δὲ ἀπὸ τουτέου τοῦ χρόνου ὕπνοι, πονηρότεροί εἰσι.

Qui verò ab hoc tẽpore fiunt ſomni, deteriores ſunt.

Κάκιστον δὲ μὴ κοιμᾶσθαι, μήτε τῆς νυκτὸς, μήτε τῆς ἡμέρης· ἢ γὰρ ὑπὸ ὀδύνης τε καὶ πόνων ἀγρυπνίη, ἢ παραφροσύνη ἔσται ἀπὸ τουτέου τοῦ σημείου.

Peſsimum autem eſt nõ dormire, neq; noctu, neq; interdiu. Aut enĩ præ dolore ac laboribꝰ vigiliæ adſunt, aut delirium aderit ab hoc ſigno.

Διαχώρημα δὲ ἐστὶν ἄριστον, τὸ μαλθακόν τε καὶ ξυνεστηκὸς, καὶ τὴν

Egeſtio alui optima eſt, mollis & cohærẽs, & ſecundum

horam, in qua etiam à sano egerebatur. Iuxta copiam verò, pro ratione ciborũ ingestorum. Tali enim cõtingente exitu, vẽter infernus sanus fuerit.

Si verò liquida fuerit egestio, conducit neq; stridere, neque frequentem esse, & paulatim secedere. Delassatur enim homo ex frequenti desessu, & vigilias vtique contraxerit.

Si verò sæpe aceruatim egerit, periculum est ne in animi deliquium incidat. Quin & iuxta copiã ingestorum egerere oportet, bis aut ter ĩ die, & noctu semel. Plura verò mane, quemadmodum in

ὥρην, ἥνπερ καὶ ὑγιαίνοντι ὑπεχώρει· πλῆθος δὲ πρὸς λόγον τῶν ἐσιόντων· τοιαύτης γὰρ ἐούσης τῆς διεξόδου, ἡ κάτω κοιλίη ὑγιαίνοι ἄν.

Εἰ δὲ εἴη ὑγρὸν τὸ διαχώρημα, ξυμφέρει μήτε τρύζειν, μήτε πυκνόν τι εἶναι, καὶ κατ' ὀλίγον ὑποχωρέειν. κοπιῇ γὰρ ὁ ἄνθρωπος, ὑπὸ τῆς ξυνεχέος ἐξαναστάσιος, καὶ ἀγρυπνοίη ἄν.

Εἰ δὲ ἀθρόον πολλάκις διαχωρέει, κίνδυνος λειποθυμῆσαι. ἀλλὰ χρὴ κατὰ τὸ πλῆθος τῶν εἰσιόντων, ἢ δὶς, ἢ τρὶς τῆς ἡμέρης ὑποχωρέειν, τῆς δὲ νυκτὸς, ἅπαξ· πλείονα δ' ὑπὸ τὸ πρωῒ, ὥσπερ συνή-

θὲς ὄν τῷ ἀνθρώπῳ.

consuetudine est homini.

Παχύνεσθαι δὲ χρὴ τὸ διαχώρημα, ἰούσης πρὸς κρίσιν τῆς νούσου· ὑπόπυῤῥον δὲ ἔστω, καὶ μὴ λίην δυσῶδες.

Inspissari autem oportet egestionem, morbo ad iudicationem tẽdente: sit autem subfulua, & non valde graueolens.

Ἐπιτήδειον δὲ καὶ ἕλμινθας στρογγύλας διεξιέναι μετὰ τοῦ διαχωρήματος, πρὸς κρίσιν ἰούσης τῆς νούσου.

Commodum est & lumbricos rotundos cũ egestione prodire, morbo ad iudicationem tendente.

Δεῖ δὲ ἐν παντὶ τῷ νοσήματι, λαπαρὴν τὴν κοιλίην εἶναι, καὶ εὔογκον· ὑδαρὲς δὲ κάρτα ἢ λευκὸν, ἢ χλωρὸν, ἢ ἐρυθρὸν ἰσχυρῶς, ἢ ἀφρῶδες διαχωρέειν· πονηρὰ ταῦτα πάντα.

Oportet autem in omni morbo mollem esse ventrem, & iusta mole præditũ, at verò aquosum valde, aut albũ, aut pallidum, aut viride, aut vehementer rufum, aut spumosum stercus egerere: hæc omnia mala sunt.

Ἔτι δὲ πονηρὸν, καὶ σμικρόν τε ἐὸν, καὶ γλίσχρον, καὶ λευκὸν, καὶ

Malũ insuper est & quod exiguũ est, & viscosum ac albũ,

aut subuiride ac læue.

ὑπόχλωρον, καὶ λεῖον.

His verò magis letalia fuerint stercora nigra, aut pĩguia, aut liuida, aut ęruginosa, & malè olẽtia.

Τουτέων δὲ θανατωδέστερα ἂν εἴη τὰ μέλανα, ἢ λιπαρὰ, ἢ πέλια, ἢ ἰώδεα, ἢ κακόδμα.

Quæ verò varia sũt, diuturniora quidem his sunt, nihilominus autẽ perniciosa. Sunt autẽ talia, ramentosa, & biliosa & cruẽta, & prasina, & nigra, aliquando simul inter se exeuntia; aliquando particulatim.

Τὰ δὲ ποικίλα, χρονιώτερα μὲν τουτέων, ὀλέθρια δὲ οὐδὲν ἧσσον. ἔστι δὲ τὰ τοιαῦτα, ξυσματώδεα, καὶ χολώδεα, καὶ πρασοειδέα, καὶ μέλανα, ποτὲ μὲν ὁμοῦ διεξερχόμενα ἀλλήλοισι, ποτὲ δὲ κατὰ μέρος.

Flatum porrò sine strepitu ac crepitu prodire optimũ est. melius autem est & cum strepitu exire, q̃ isthic reuolui. & qui sic progressus est flatus, aut dolere qd hominẽ significat,

Φῦσαν δὲ ἄνευ ψόφου καὶ παρδήσιος διεξιέναι, ἄριστον· κρέσσον δὲ, καὶ σὺν ψόφῳ διελθεῖν, ἢ αὐτοῦ ἀνειλέεσθαι. καὶ οὕτω διεξιοῦσα, σημαίνει ἢ πονέειν τι τὸν ἄνθρωπον,

ἢ παραφρονέειν, ἢν μὴ ἑκὼν ὁ ἄνθρωπος οὕτω τὴν ἄφεσιν τῆς φύσης ποιήσηται.

Τοὺς δὲ ἐκ τῶν ὑποχονδρίων πόνους τε καὶ κυρτώματα, ἢν ᾖ νεαρὰ, καὶ μὴ ξὺν φλεγμονῇ, λύει βορβορυγμὸς ἐγγινόμενος ἐν τῷ ὑποχονδρίῳ· καὶ μάλιστα μὲν διεξιὼν ξὺν κόπρῳ τε, καὶ οὔρῳ, καὶ φύσῃ· ἢν δὲ μὴ, καὶ αὐτὸς δὴ περαιωθεὶς, ὠφελέει· ὠφελέει δὲ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

Τὸ δὲ οὖρον ἄριστόν ἐστιν, ὅταν εἴη λευκή τε ἡ ὑπόστασις, καὶ λείη, καὶ ὁμαλὴ παρὰ πάντα τὸν χρόνον, ἐς τ' ἂν κριθῇ ἡ νοῦσος· σημαίνει γὰρ ἀσφάλειάν τε, καὶ νόσημα ὀλιγοχρόνιον ἔσεσθαι.

aut delirare: niſi ſua ſponte homo ita flatum emittat.

Cæterùm præcordiorū dolores ac tumores, ſi fuerint recentes, & nō cum inflammatione, ſoluit murmur in præcordio obortum: & maximè quidem ſi pertrāſierit cum ſtercore, & vrina, ac flatu: ſin minus, etiam ipſum ꝑ ſe ſi trāſierit, prodeſt: prodeſt itē ſi ſubdeſcenderit ad infernos locos.

Optima verò eſt vrina, quū fuerit alba ſubſidentia, & lęuis, & æqualis per totum tēpus, donec iudicatus fuerit morbus. ſignificat enim & ſecuritatē, & morbum fore breuem.

Si intermiſerit, & aliquando quidē pura meiatur, aliquando verò ſubſidet album ac lęue, diuturnior fit morbus, & minus ſecurus.

Si verò fuerit & vrina ſubrubra, & ſubſidentia ipſius ſimilis, & læuis, diuturniorem quidē hęc morbum q̄ prior ſignificat, ſed valde ſalutarem.

At ſubſidentiæ in vrinis craſsiores polentæ partes referentes, prauæ ſunt. His autem peiores ſunt laminoſæ. Albæ verò & tenues valde malæ ſunt. Verũ his deteriores ſunt furfuraceæ.

Nubeculæ quæ ferũtur in vrinis, al-

Εἰ δὲ διαλείποι, καὶ ποτὲ μὲν καθαρὸν οὐρέοιτο, ποτὲ δὲ ὑφίσταιτο τὸ λευκὸν καὶ λεῖον, χρονιωτέρα γίνεται ἡ νοῦσος, καὶ ἧσσον ἀσφαλής.

Εἰ δὲ εἴη τό, τε οὖρον ὑπέρυθρον, καὶ ἡ ὑπόστασις αὐτέου ὁμοίη, καὶ λείη, πολυχρονιώτερον μὲν αὕτη τοῦ πρώτου γίνεται, σωτήριον δὲ κάρτα.

Κριμνώδεες δὲ ἐν τοῖσιν οὔροισιν αἱ ὑποστάσιες, πονηραί· τουτέων δὲ εἰσὶ κακίους, αἱ πεταλώδεες· αἱ λευκαὶ δὲ καὶ λεπταὶ, κάρτα φλαῦραι· τουτέων δ' ἔτι κακίους εἰσὶν αἱ πιτυρώδεες.

Νεφέλαι ἐμφερόμεναι τοῖσιν οὔροισι, λευ-

καὶ μὲν ἀγαθαὶ, μέλαιναι δὲ φλαῦραι. ἔστ' ἂν δὲ πυῤῥόν τε εἴη τὸ οὖρον καὶ λεπτὸν, σημαίνει τὸ νόσημα ἄπεπτον εἶναι. ἢν δὲ καὶ πολυχρόνιον εἴη τοιοῦτον ἐὸν, κίνδυνος μὴ οὐ δυνήσεται ὁ ἄνθρωπος διαρκέσαι, ἔστ' ἂν πεπανθῇ τὸ οὖρον.

Θανατωδέστερα δὲ τῶν οὔρων, τά τε δυσώδεα, καὶ ὑδατώδεα, καὶ μέλανα, καὶ παχέα.

Επὶ δὲ τοῖσι μὲν ἀνδράσι καὶ τῇσι γυναιξὶ, τὰ μέλανα τῶν οὔρων κάκιστα· τοῖσι δὲ παιδίοισι, τὰ ὑδατώδεα.

Οκόσοι δ' ἂν οὖρα λεπτὰ καὶ ὠμὰ οὐρέουσι πουλὺν χρόνον, ἢν τὰ ἄλλα ὡς περιεσομένοισι σημεῖα ᾖ, τούτοι-

bæ quidẽ bonæ ſunt, nigræ verò malæ. Qnandiu verò fulua fuerit vrina & tenuis, morbum incócoctum eſſe ſignificat. Si verò & diuturna fuerit talis exiſtens, periculũ eſt ne ſufficere homo poſſit, donec vrina fuerit concocta.

Letaliores autem ſunt vrinæ, & fœtidæ, & aquoſæ, & nigræ, & craſſæ.

At tum in viris, tum in mulieribus nigræ vrinæ peſſimæ ſunt, in pueris autem aquoſæ.

Quicunque vrinas tenues & crudas meiunt multo tempore, ſi alia velu ti ſuperſtitibus futuris ſigna fuerint, iiſ

abſceſſum expectare oportet ad locos infra ſeptum tranſuerſum.

σιν ἀπόστασιν δεῖ προσδέχεσθαι ἐς τὰ κάτω τῶν φρενῶν χωρία.

Sed & pinguedines ſupernè inſtãtes, araneorum telis ſimiles, dãnare oportet: ſunt enim colliquationis ſigna.

Καὶ τὰς λιπαρότητας δὲ τὰς ἄνω ἐφισταμένας, ἀραχνοειδέας μέμφεσθαι· συντήξιος γὰρ σημεῖα.

Conſiderare verò conuenit in vrinis in quib[9] nubeculę sũt, an ſupernè aut infernè ſint, & quales habeãt colores. Et quæ quidem deorſum feruntur, cum colorib[9] relatis, eas bonas eſſe putare, ac laudare: quæ verò ſurſum ferũtur, cũ coloribus relatis, malas eſſe, & tales dãnare.

Σκοπεῖν δὲ χρὴ τῶν οὔρων ἐν οἷσι αἱ νεφέλαι, ἤν τε ἄνω, ἤν τε κάτω ἔωσι, καὶ τὰ χρώματα ὁκοῖα ἴσχουσι· καὶ τὰς μὲν κάτω φερομένας ξὺν τοῖς χρώμασιν, οἷσιν εἴρηται, ἀγαθὰς εἶναι νομίζειν καὶ ἐπαινέειν· τὰς δὲ ἄνω ξὺν τοῖσι χρώμασιν, οἷσιν εἴρηται, κακὰς εἶναι, καὶ μέμφεσθαι τὰς τοιάσδε.

Nec verò decipiat te, ſi veſica morbum aliquẽ habens, eiuſ-

Μὴ ἐξαπατάτω δέ σε, ἤν γε ἡ κύστις τι νόσημα ἔχουσα, τῶν οὔ-

ρων τὰ τοιαῦτα ἀπο-
διδῷ· οὐ γὰρ τοῦ ὅλου
σώματος σημεῖον ἐστὶν,
ἀλλ᾽ αὐτῆς καθ᾽ ἑωυ-
τῆς.

Ἔμετος δὲ ὠφελιμώ-
τατος, ὁ φλέγματος
καὶ χολῆς ξυμμεμι-
γμένος, καὶ μὴ παχὺς
κάρτα, μηδὲ πολὺς ὡς
μάλιστα· οἱ γὰρ ἀκρη-
τέστεροι κακίους εἰσίν.

Εἰ δὲ εἴη τὸ ἐμεύ-
μενον πρασοειδὲς, ἢ
πελιὸν, ἢ μέλαν, ὅ,τι
ἂν ᾖ τουτέων τῶν χρω-
μάτων, νομίζειν χρὴ
πονηρὸν εἶναι.

Εἰ δὲ καὶ πάντα τὰ
χρώματα ὁ ωὐτὸς ἄν-
θρωπος ἐμέει, κάρτα
ὀλέθριον ἤδη γίνεται·
τάχιστα γὰρ θάνατον
σημαίνει. τὸ πελιὸν τῶν
ἐμεσμάτων, εἰ ὄζει δυ-
σῶδες.

Πᾶσαι δὲ αἱ ὑπόσα

modivrinas reddide
rit: nō enī totius cor
poris ſignū eſt, ſed ip
ſius per ſe veſicæ.

Vomitus cómodiſ-
ſimus eſt, ex pituita
ac bile q̃ maximè p-
mixtus, & non craſ-
ſus valde, neq; mul-
tus: nā meraciores,
deteriores ſunt.

Si verò id quod vo
mitu reiectū eſt, pra
ſini fuerit coloris,
aut liuidum aut ni-
grum: quicunque ho
rum fuerit colorū,
malum eſſe putan-
dum eſt.

Siverò omnes colo
res idē homo vomit,
valde pernicioſum
hoc eſt. Celerrrimā
enim mortē ſignifi-
cat liuidus vomitus
ſi graueolens fuerit.

Omnes verò ſubpu

tridi ac fœtidi odores, in omnibus vomitibus mali sunt.

Sputũ verò in omnibus doloribus, qui circa pulmonem & costas fiunt, citò ac facile expui conuenit, & flatum sputo valde permixtũ apparere. Si enim longè postea post principium doloris, expuerit quod flauum est, aut fuluum, aut quod multã tussim inducit, & nõ valde permixtum est, deterius est. Nam & flauum meracum, periculosum est: & albũ ac viscosum & rotũdum, inutile est. Malum est & quod viride est valde, itémque pallidũ & quod spumosum.

-προὶ καὶ δυσώδεες ὀσμαὶ, κακαὶ ἐπὶ πᾶσι τοῖσιν ἐμεομένοισιν.

Πτύελον χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀλγήμασι, τοῖσι περὶ τὸν πλεύμονα καὶ τὰς πλευρὰς, ταχέως τε ἀναπτύεσθαι, καὶ εὐπετέως· ξυμμεμιγμένον τε φαίνεσθαι τὸ ξανθὸν, ἰσχυρῶς τῷ πτυέλῳ· εἰ γὰρ πολλῷ ὕστερον μετὰ τὴν ἀρχὴν τῆς ὀδύνης, ἀναπτύοιτο ξανθὸν ἐὸν, ἢ πυῤῥὸν, ἢ πολλὴν βῆχα παρέχον, καὶ μὴ ἰσχυρῶς ξυμμεμιγμένον, κάκιον γίνεται· τό, τε γὰρ ξανθὸν ἄκρητον ἐὸν, κινδυνῶδες· τὸ δὲ λευκὸν καὶ γλίσχρον καὶ στρογγύλον, ἀλυσιτελές. κακὸν δὲ καὶ τὸ χλωρὸν ἐὸν κάρτα καὶ τὸ ἀφρῶδες.

Εἰ δὲ εἴη οὕτως ἄκρη
τον, ὥστε καὶ μέλαν
φαίνεσθαι, δεινότερόν
ἐστι τοῦτο ἐκείνων.

Κακὸν δὲ καὶ ἢν μηδὲν
ἀνακαθαίρηται, μηδὲ
προΐῃ ὁ πλεύμων, ἀλ-
λὰ πλήρης ἐὼν ζέῃ ἐν
τῷ φάρυγγι.

Κορύζας δὲ καὶ πταρ
μοὺς ἐπὶ πᾶσι τοῖσι
περὶ τὸν πλεύμονα νο
σήμασι, προγεγονέναι
ἢ ἐπιγενέσθαι, κακόν·
ἀλλ᾽ ἐν τοῖσιν ἄλλοισι
νοσήμασι τοῖς θανατω
δεστάτοισιν οἱ πταρμοὶ
λυσιτελοῦσιν.

Αἵματι δὲ ξυμμεμιγ
μένον μὴ πολλῷ πτύε-
λον ξανθὸν ἐν τοῖσι πε
ριπλευμονικοῖσιν, ἐν
ἀρχῇ μὲν τῆς νόσου πτυό-
μενον περιεστικὸν καὶ
κάρτα ὠφελέει· ἑβδο-
μαίῳ δὲ ἐόντι καὶ παλαι
οτέρῳ, ἧσσον ἀσφαλές.

Si verò ita ſit me-
racũ, vt etiã nigrum
appareat, hoc ipſum
deterius eſt q̃ illa.

Malum etiam eſt
ſi nihil repurgetur,
neque emittat pul-
mo, ſed plenus fer-
ueat in gutture.

Grauedines & ſter
nutationes in omni
bus circa pulmonem
morbis, & anteceſsiſ-
ſe, & ſuccedere, malũ
eſt. At in alijs morbis
letaliſsimis ſternuta
tiones proſunt.

Sputum autem fla
uũ ſanguine p̃mix-
tum non multo, ſi in
pulmonis inflamma
tione, in principio
morbi reijciatur, ſa-
lutare eſt, & valde
prodeſt. Si verò ſepti
mo die, aut poſteriꝰ,
minus ſecurum eſt.

Omnia ſputa mala ſunt, quę doloré non ſedant: peſsima verò ſunt nigra, velut deſcriptum eſt: quæ verò dolorem ſedant, omnium optima exiſtunt.

Πάντα δὲ πτύελα πονηρά ἐστιν, ὁκόσα αὖ τὴν ὀδύνην μὴ παύῃ· κάκιστα δὲ τὰ μέλανα, ὡς διαγέγραπται· τὰ δὲ παύοντα ὀδύνην, πάντων ἀμείνω ἀναπτυόμενα.

Quicunque dolores ex his locis non ſedantur, neque ad ſputorum purgationes, neque ad ſtercorum alui ſubductionem, neque ad venæ ſectiones, & victus rationem ac medicaměta, eos ad ſuppurationem verti ſcito.

Ὁκόσα δὲ τῶν ἀλγημάτων ἐκ τουτέων τῶν χωρίων μὴ παύνται, μήτε πρὸς τὰς τῶν πτυέλων καθάρσιας, μήτε πρὸς τὴν τῆς κοιλίης ἐκκόπρωσιν, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ φαρμακείας, καὶ διαίτας, εἰδέναι δεῖ ἐκπυήσοντα.

Ex ſuppurationibus quæcunq; dum ſputum adhuc bilioſum eſt, ſupperǎtur, pniciosę valde ſunt, ſiue bilioſum illud in parte, ſiue ſimul cum pure expuatur:

Τῶν δὲ ἐκπυημάτων ὁκόσα μὲν ἔτι χολώδεος ἐόντος τοῦ πτυέλου ἐκπυΐσκεται, ὀλέθρια κάρτα, ἤν τε ἐν μέρει τὸ χολῶδες τῷ πύῳ ἀναπτύοιτο, ἤν τε ὁμοῦ.

μάλιστα δὲ ἢν ἄρξηται χωρέειν τὸ ἐμπύημα, ἀπὸ τουτέου τοῦ πτυέλου, ἑβδομαίου ἐόντος τοῦ νοσήματος. ἐλπὶς δὲ ὧν τὰ τοιαῦτα πτύοντα, ἀποθανέεσθαι τεσσαρεσκαιδεκαταῖον, ἢν μή τι αὐτέῳ ἐπιγένηται ἀγαθόν.

Ἔστι δὲ, τὰ μὲν ἀγαθὰ τάδε· εὐπετέως φέρειν τὸ νόσημα, εὔπνοον εἶναι, τῆς ὀδύνης ἀπηλλάχθαι, τό, τε πτύελον ῥηιδίως ἀναβήσσειν, τό, τε σῶμα ὁμαλῶς φαίνεσθαι θερμόν τε εἶναι καὶ μαλθακὸν, καὶ δίψαν μὴ ἔχειν, οὖρά τε καὶ διαχωρήματα, καὶ ὕπνους καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι ἀγαθὰ ἐόντα ἐπιγίνεσθαι· οὕτω μὲν γὰρ ἁπάντων τουτέων ἐπι-

& hoc potissimùm, si morbo ad septimum diem progresso, suppuratio ab hoc sputo procedere incipiat. Timor autem est eũ qui talia expuit, moriturum esse decimaquarta die, nisi aliquod bonum signum ipsi acciderit.

Sunt autem bona hęc: facilè ferre morbum, bene spirare, à dolore liberatũ esse, sputũ facilè tussiendo reijcere, corpus æqualiter calidum ac molle apparere, sitim nõ habere, vrinas & alui egestiones, & somnos, & sudores, velut descriptũ est: hæc singula nosse cõuenit accidere vt quæ bona sint. Nã omnibus his sic

contingentibus, homo non morietur.

Si verò aliqua ex his accesserint, aliqua non, nõ ampliore tempore vita producta, decimaquarta die homo peribit.

Porrò mala signa his contraria sunt: ęgrè ferre morbum, spiritum magnũ & densum esse, dolorẽ non sedari, sputũ vix tussiendo reijcere, valde sitire, corpus inæqualiter à febri teneri, ventrem quidem ac costas fortiter calidas esse, frontem verò & manus ac pedes frigidos. Vrinas autem & alui egestiones, & somnos, & sudores, velut descriptum est: hæc singula nosse oportet.

γινομένων, οὐκ ἂν ἀποθάνοι ὁ ἄνθρωπος.

Ἢν δὴ τὰ μέν τοι αὐτέων ἐπιγίνοιτο, τὰ δὲ μή, οὐ πλέονα χρόνον ζήσας ἢ τεσσαρεσκαίδεκα ἡμέρας, ἀπόλοιτ' ἂν ὁ ἄνθρωπος.

Κατὰ δὲ τὰ ἐναντία τουτέων· δυσπετέως φέρειν τὴν νοῦσον, πνεῦμα μέγα καὶ πυκνὸν εἶναι, τὴν ὀδύνην μὴ παύεσθαι, τὸ πτύελον μόλις ἀναβήσσειν, διψῆν κάρτα, τό, τε σῶμα ὑπὸ πυρὸς ἀνωμάλως ἔχεσθαι καὶ τὴν μὲν κοιλίην καὶ τὰς πλευρὰς, θερμὰς εἶναι ἰσχυρῶς, τὸ δὲ μέτωπον καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, ψυχρούς· οὖρα δὲ καὶ διαχωρήματα, καὶ ὕπνους, καὶ ἱδρῶτας, ὡς διαγέγραπται, ἕκαστα εἰδέναι κακά.

κακὰ ἐόντα· οὕτως δὲ εἰ ἐπιγένοιτό τι τῷ πτυέλῳ τουτέων, ἀπόλλοιτο ἂν ὁ ἄνθρωπος, πρὶν ἢ ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας ἀφικέσθαι, ἢ ἐναταῖος, ἢ ἑνδεκαταῖος. οὕτως οὖν ξυμβάλλεσθαι χρή, ὡς τοῦ πτυέλου τουτέου θανατώδεος ἐόντος μάλα, καὶ οὐ περιάγοντος ἐς τὰς τεσσαρεσκαίδεκα ἡμέρας.

Τὰ δὲ ἐπιγενόμενα ἅτε κακὰ καὶ ἀγαθὰ ξυλλογιζόμενον ἐκ τουτέων χρὴ τὰς προῤῥήσιας προλέγειν· οὕτω γὰρ ἄν τις ἀληθεύοι μάλιστα.

Αἱ δὲ ἄλλαι ἐκπυήσιες ῥήγνυνται αἱ πλεῖσται, αἱ μὲν εἰκοσταῖαι, αἱ δὲ τριηκοσταῖαι, αἱ δὲ τεσσαρακονθήμεροι, αἱ

tet mala esse. Si enĩ ita accesserit horum aliquid ad sputum, peribit vtiq; homo, priusquam ad decimum quartum diem peruenerit, aut nono die, aut vndecimo. Sic igitur coniecturã facere oportet, quòd hoc sputũ letale sit valde, & non perducat ad decimũ quartum diem.

Proinde & mala & bona signa expendentem ex his, prędictiones facere oportet: ita enim potissimũ veritatem consequi quis poterit.

At verò aliæ suppurationes rumpuntur, plurimę quidem vigesimo die, aliæ verò trigesimo, aliæ quadragesimo, ali-

quæ verò ad sexaginta dies perueniunt.

Considerare verò futuræ suppurationis principium oportet, suppuratione facta ab ea die qua primum homo febricitauit, aut si fortè ipsum primùm rigor apprehẽdit: & si pro dolore grauitatẽ sibi factam esse dixerit, in eo loco in quo dolebat: hæc enim in principijs suppurationum fiunt.

Ex his igitur tẽporibus eruptionẽ suppurationum fore expectare oportet ad prædicta tempora.

Si verò suppuratio fuerit in altero latere solùm, vertere & considerare oportet in his, num aliquem

δὲ πρὸς τὰς ἑξήκοντα ἡμέρας ἀφικνέονται.

Ἐπισκέπτεσθαι δὲ χρὴ τὴν ἀρχὴν τοῦ ἐμπυήματος ἔσεσθαι λογιζόμενον, ἀπὸ τῆς ἡμέρης ᾗ τὸ πρῶτον ὁ ἄνθρωπος ἐπύρεξεν, ἢ εἴποτε αὐτὸν πρῶτον ῥῖγος ἔλαβε· καὶ εἰ φαίη ἀντὶ τῆς ὀδύνης αὐτῷ βάρος γεγενῆσθαι ἐν τῷ τόπῳ ἐν ᾧ ἤλγεε· ταῦτα γὰρ ἐν ἀρχῇσι γίνεται τῶν ἐμπυημάτων.

Ἐξ οὖν τουτέων τῶν χρόνων τὴν ῥῆξιν χρὴ προσδέχεσθαι τῶν ἐμπυημάτων ἔσεσθαι ἐς τοὺς χρόνους τοὺς προειρημένους.

Εἰ δὲ εἴη τὸ ἐμπύημα ἐπὶ θάτερα μοῦνον, στρέφειν τε καὶ καταμανθάνειν χρὴ ἐπὶ τουτέοισι, μήτε

ἔχῃ ἄλγημα ἐν τῷ ἑτέρῳ πλευρῷ, καὶ ἢν θερμότερον ᾖ τὸ ἕτερον τοῦ ἑτέρου, κατακλινομένου ἐπὶ τὸ ὑγιαῖνον πλευρὸν, ἐρωτᾶν εἴ τι αὐτῷ δοκέει βαρὺ ἐγκρέμασθαι ἐκ τοῦ ἄνωθεν· εἰ γὰρ εἴη τοῦτο, ἐπὶ θάτερόν ἐστι τὸ ἐμπύημα, ἐπὶ ὁκοῖον ἂν πλευρὸν τὸ βάρος γίνηται.

Τοὺς δὲ ξύμπαντας ἐμπύους γινώσκειν χρὴ τοῖσι δὴ τοῖσι σημείοισι· πρῶτον μὲν, εἰ ὁ πυρετὸς οὐκ ἀφίησιν, ἀλλὰ τὴν μὲν ἡμέρην λεπτὸς ἴσχει, τὴν δὲ νύκτα πλείων.

Καὶ ἱδρῶτες πολλοὶ ἐπιγίνονται, βῆχές τε καὶ θυμὸς ἐγγίνεται αὐτέοισι, καὶ ἀποπτύουσιν οὐδὲν ἄξιον λόγου.

habeat dolorem in altero latere, & an alterum altero ſit calidius: & reclinato ægro in latus ſanum, interrogare ipſum, an videatur ipſi graue quid ex ſuperno latere incumbere: ſi enim hoc fuerit, in altero eſt ſuppuratio, in quo grauitas affuerit.

Cæterùm omnes ſuppuratos ex his ſignis cognoſcere oportet: primùm quidem, ſi febris non dimittit, ſed per diem quidé tenuis eſt, noctu verò amplior.

Et ſudores multi oboriuntur, tuſséſque ac tuſsiendi prõptitudo ipſis adeſt, & nihil memorabile expuunt.

Et oculi caui fiũt, & maxillæ ruborem contrahunt.

Et vngues quidẽ manuum curuãtur, digiti verò caleſcũt, & potiſsimum ſummi: & in pedibus tumores fiunt.

Et cibos non appetunt, & puſtulæ per corpus enaſcuntur.

Quæcunq; igitur ſuppurationes diuturnæ ſunt, hæc ſigna habent, & fidem ipſis valde habere oportet.

Quæ verò breues ſunt, ex his ſignis cognoſcere oportet, ſi quid apparuerit ex his, qualia in principijs fiunt. Simul autẽ & ſi aliquanto difficilius ſpirauerit homo.

Καὶ οἱ μὲν ὀφθαλμοὶ, ἔγκοιλοι γίνονται· αἱ δὲ γνάθοι, ἐρυθήματα ἴσχουσι.

Καὶ οἱ μὲν ὄνυχες τῶν χειρῶν γρυποῦνται· οἱ δὲ δάκτυλοι θερμαίνονται, καὶ μάλιστα ἄκροι. καὶ ἐν τοῖσι ποσὶν οἰδήματα γίνεται.

Καὶ σιτίων οὐκ ἐπιθυμέουσι, καὶ φλύκταιναι γίνονται ἀνὰ τὸ σῶμα.

Οκόσα μὲν οὖν ἐγχρονίζει τῶν ἐμπυημάτων, ἔχει τὰ σημεῖα ταῦτα, καὶ πιστεύειν αὐτέοισι χρὴ κάρτα.

Οκόσα δὲ ὀλιγοχρόνιά ἐστι, σημαίνεσθαι τουτέων, ἤν τι ἐπιφαίνηται, οἷα καὶ τοῖσιν ἐν ἀρχῇσι γινομένοισιν. ἅμα δὲ καὶ ἤν τι δυσπνούστερος ᾖ ὁ ἄνθρωπος.

Τὰ δὲ ταχύτερον αὐτέων καὶ βραδύτερον ἐῤῥηγνύμενα, τοῖσδε γινώσκειν χρή. ἢν μὲν ὁ πόνος ἐν ἀρχῇσι γίνηται, καὶ ἡ δύσπνοια, καὶ ἡ βὴξ, καὶ ὁ πτυαλισμὸς διατείνῃ, ἐς τὰς εἴκοσιν ἡμέρας ἔχων, προσδέχεσθαι τὴν ῥῆξιν, ἢ καὶ ἔτι πρόσθεν· ἢν δὲ ἡσυχαίτερος ὁ πόνος ᾖ, καὶ τἆλλα πάντα, τουτέοισι κατὰ τὸν λόγον τουτέου προσδέχεσθαι τὴν ῥῆξιν ἐς ὕστερον.

Γίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν πρὸ τῆς τοῦ πύου ῥήξιος.

Περιγίνονται δὲ τουτέων μάλιστα μὲν οὓς ἂν ἀφῇ ὁ πυρετὸς αὐθήμερον μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ταχέως

At verò quę ex ipſis citius & tardius rũpuntur, his ſignis cognoſcere oportet. Si quidẽ enim dolor in principijs fiat, & ſpirãdi difficultas, & tuſſis, & ſputatio perſeuerãs, ad vigeſimum diem pertingat, eruptionẽ tũc expectare oportet, aut etiam prius. Si verò quietior fuerit dolor, & alia omnia ꝓ huius ratione, eruptio poſterius expectãda eſt.

Neceſſe verò eſt accedere & dolorẽ, & ſpirãdi difficultatẽ, & ſputationem, ante puris eruptionem.

Ex his aũt maximè ſuperſtites manẽt hi quos febris eodẽ poſt eruptionẽ die dimiſerit: & ꝗ cibos citò

appetiuerint, & à siti liberati fuerint: & si venter parua & cōpacta egesserit, & pus albū & læue & eiusdem coloris fuerit, & à pituita liberum, & citra dolorem ac tussim fortem repurgetur.

Ac optimè quidē sic ac celerrimè liberantur: sin minus, hi quibus proxima his contigerint.

At verò intereunt hi quos febris nō dimiserit, aut vbi ipsos dimisisse putata fuit, rursus recalescēs apparuerit: & qui sitim quidem habuerint, cibos autem non appetiuerint, & si venter liquidus fuerit, & pus pallidum siue viride, & liuidum ex-

ἐπιθυμῶσι, καὶ δίψης ἀπηλλαγμένοι ἔωσι, καὶ ἡ γαστὴρ σμικρά τε καὶ ξυνεστηκότα ἀποχωρέῃ καὶ τὸ πύον λευκόν τε καὶ λεῖον καὶ ὁμόχροον ᾖ, καὶ φλέγματος ἀπηλλαγμένον, καὶ ἄτερ πόνου τε καὶ βηχὸς ἰσχυρῆς ἀνακαθαίρηται.

Ἄριστα μὲν οὕτως καὶ τάχιστα ἀπαλλάσσουσιν· ἢν δὲ μή, οἷσιν ἂν ἐγγυτάτω τούτων γίνηται.

Ἀπόλλυνται δὲ οὓς ἂν ὅ, τε πυρετὸς μὴ ἀφιῇ, ἢ δοκέων αὐτέους ἀφιέναι, αὖθις φαίνηται ἀναθερμαινόμενος· καὶ δίψαν μὲν ἔχωσι, σιτίων δὲ μὴ ἐπιθυμέωσι· καὶ ἡ κοιλίη ὑγρὴ ᾖ, καὶ τὸ πύον χλωρὸν καὶ πέλιον πτύ-

η, ἢ φλεγματῶδες καὶ ἀφρῶδες. ἢν ταῦτα πάντα γίγνηται, ἀπόλλυνται.

Ὁκόσοισι δ' αὖ τουτέων, τὰ μὲν ἐπιγίγνηται, τὰ δὲ μή, οἱ μὲν αὐτέων ἀπόλλυνται, οἱ δὲ ἐν πολλῷ χρόνῳ περιγίνονται. ἀλλ' ἐκ πάντων τῶν τεκμηρίων τῶν ἐόντων ἐν τουτέοισι, σημαίνεσθαι καὶ τοῖσιν ἄλλοισι πᾶσιν.

Ὁκόσοισι δὲ ἀποστάσιες γίγνονται ἐκ τῶν περιπλευμονικῶν νοσημάτων, παρὰ τὰ ὦτα, καὶ ἐμπύουσιν ἐς τὰ κάτω χωρία, καὶ συριγγοῦνται, οὗτοι δὲ περιγίνονται.

Ἐπισκέπτεσθαι δὲ χρὴ τὰ τοιαῦτα, ὧδε· ἢν ὅ, τε πυρετὸς ἔχῃ, καὶ ἡ ὀδύνη μὴ παύη-

puerint, aut pituitosum & spumosum. Si hæc omnia contigerint, pereunt.

Quibus verò ex his quædam accesserint, quædã non, horum aliqui intereũt, aliqui in multo tempore superstites euadunt. Verũ ex omnibus signis quę adsũt, tum in his, tum in alijs omnibus cõiectu ram facere oportet.

Quibuscunque ex inflammati pulmonis morbis, abscessus circa aures fiunt, & suppurantur ad infernas partes, aficstulantur, hi superstites euadunt.

Verũ huiusmodi sic cõsiderare oportet. Si & febris detinuerit, & dolor nõ seda-

eus fuerit, & ſputum
ꝑ ratione nō prodie-
rit, neq; bilioſæ, neq;
ſolutu faciles, & me
racæ alui egeſtiones
fuerint neque vrina
valde multa, & mul-
tam ſubſidentiā ha-
bens: iudicatur autē
ſuperſtes futurus ab
omnibus reliquis ſa
lutaribus ſignis, tūc
abſceſſus huiuſmo-
di fore ſperandū eſt.
Fiūt autē partim ad
infernas partes, qui-
bus videlicet inflam
matio aliqua circa
præcordia affuerit:
partim in ſupernis,
quib⁹ pręcordiū mol
le & doloris exors ꝑ-
māſerit, & vbi ſpiran
di difficultas, quæ ꝑ
tēpus aliquod affuit,
deſierit citra aliam
manifeſtā cauſam.

ται, καὶ τὸ πτύελον μὴ
ἐκχωρέῃ κατὰ λόγον, μὴ
δὲ χολώδεες αἱ τῆς κοι
λίης διαχωρήσιες, μὴ
δὲ εὔλυτοί τε καὶ ἄκρη
τοι γίγνοιντο, καὶ μηδὲ
τὸ οὖρον πουλύ τε κάρ
τα καὶ πολλὴν ὑπόστα-
σιν ἔχον· ὑπηρετῆται
δὲ περιεστικῶς ὑπὸ τῶν
λοιπῶν πάντων τῶν
περιεστικῶν σημείων,
τουτέοισι χρὴ τὰς τοι
αύτας ἀποστάσιας ἐλ-
πίζειν ἔσεσθαι. γίνον-
ται δὲ αἱ μὲν ἐς τὰ
κάτω χωρία, οἷσιν ἂν
περὶ τὰ ὑποχόνδρια
τοῦ φλέγματός τι ἐγ
γίνηται· αἱ δὲ ἄνω,
οἷσι τὸ ὑποχόνδριον
λαπαρόν τε καὶ ἀνώ-
δυνον διατελέῃ· δύ-
σπνους δέ τινα χρό-
νον γενόμενος, παύση
ται ἄτερ φανερῆς προ-
φάσιος ἄλλης.

Αἱ δὲ ἀποστάσιες αἱ ἐς τὰ σκέλεα ἐν τῇσι περιπλευμονίῃσι τῇσιν ἰσχυρῇσί τε καὶ ἐπικινδύνοισι, λυσιτελέες μὲν πᾶσαι, ἄρισται δὲ αἱ τοῦ πτυέλου ἐν μεταβολῇ ἐόντος γιγνόμεναι· εἰ γὰρ τὸ οἴδημα καὶ ἡ ὀδύνη γίγνοιτο, τοῦ πτυέλου ἀντὶ ξανθοῦ πυώδεος γινομένου καὶ ἐκχωρέοντος ἔξω, οὕτως ἂν ἀσφαλέστατα ὅ, τε ἄνθρωπος περιγίνοιτο, καὶ ἡ ἀπόστασις ἀνώδυνος τάχιστα παύσεται.

Εἰ δὲ τὸ πτύελον μὴ ἐκχωρέοι καλῶς, μηδὲ τὸ οὖρον ὑπόστασιν ἀγαθὴν ἔχον φαίνοιτο, κίνδυνος χωλὸν γενέσθαι τὸ ἄρθρον, ἢ πολλὰ πρήγματα παρασχεῖν.

Ην δὲ ἀφανίζωνται

Cæterũ abſceſſus ad crura in pulmonis inflãmationibus fortibus ac periculoſis, omnes quidem vtiles ſunt, optimi verò ſunt, qui dum ſputum iã in mutatione eſt, fiunt. Si enim tumor & dolor fiat, ſputo pro flauo purulento facto, & foras procedente: ita ſecuriſsimè homo ſuperſtes euaſerit, & abſceſſus abſq; dolore celerrimè ſedabitur.

Si verò ſputũ non bene proceſſerit, neque vrina ſubſidentiam bonam habens apparuerit, periculũ eſt claudum fore articulum, aut multũ moleſtiarum exhibiturum.

At ſi euaneſcant

& recurrant abſceſſus, ſputo non prodeunte, febréq; permanente, horrẽdum eſt: periculum enim eſt ne deliret homo & moriatur.

καὶ παλινδρομέωσιν αἱ ἀποστάσιες, τοῦ πτυέλου μὴ ἐκχωρέοντος, καὶ τοῦ πυρετοῦ ἔχοντος, δεινόν· κίνδυνος γὰρ, μὴ παραφρονήσῃ καὶ ἀποθάνῃ ὁ ἄνθρωπος.

Ex ſuppuratis à pulmonis inflammatione, ſeniores magis intereũt. Ex alijs autem ſuppurationibus iuniores magis moriuntur.

Τῶν δὲ ἐμπύων, τῶν ἀπὸ τῶν περιπλευμονικῶν, οἱ γεραίτεροι μᾶλλον ἀπόλλυνται. ἐκ δὲ τῶν ἄλλων ἐμπυημάτων, οἱ νεώτεροι μᾶλλον ἀποθνήσκουσιν.

Dolores qui cum febre fiũt circa lumbos & infernas partes, ſi ſeptum tranſuerſum attigerint, infernas partes relinquentes, pernicioſi valde ſunt.

Αἱ δὲ ξὺν πυρετῷ γινόμεναι ὀδύναι περὶ τὴν ὀσφὺν τε καὶ τὰ κάτω χωρία, ἢν τῶν φρενῶν ἅπτωνται, τὰ κάτω ἐκλείπουσαι, ὀλέθρια κάρτα.

Proinde alijs quoque ſignis animum aduertere oportet. Nam ſi quod etiã ex alijs ſignis malũ ap-

Προσέχειν οὖν δεῖ τὸν νόον τοῖσιν ἄλλοισι σημείοισιν, ὡς ἤν τι καὶ τῶν ἄλλων σημείων ἐπι-

φαίνηταί τι πονηρὸν, ἀνέλπιστος ὁ ἄνθρωπος.

Ὁκόσοι δὲ τῶν ἐμπύων καίονται, οἷσιν ἂν καθαρὸν μὲν τὸ πῦον ᾖ, καὶ λευκὸν, καὶ μὴ δυσῶδες, σώζονται. οἷσι δὲ ὕφαιμόν τε καὶ βορβορῶδες, ἀπόλλυνται.

Εἰ δὲ ἀναΐσσοντος τοῦ νοσήματος ὡς πρὸς τὰς φρένας, τἄλλα σημεῖα μὴ πονηρὰ ἐπιγίνηται, ἔμπυον ἔσεσθαι τοῦτον πολλαὶ ἐλπίδες.

Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, δειναὶ μὲν παντελῶς καὶ ὀλέθριαι· ὀλεθριώταται δὲ ὁκόσαι ξὺν πυρετῷ συνεχεῖ γίνονται· καὶ γὰρ οἱ ἀπ' αὐτέων τῶν κυστέων πόνοι, ἱκανοὶ ἀποκτεῖναι· καὶ αἱ κοιλίαι οὐ διαχωρέουσιν ἐν τουτέῳ τῷ χρό-

paruerit, deſperatus eſt homo.

Quicunque verò ſuppurati vruntur, quibus quidē purum pus fuerit, & album, & non fœtidū, hi ſeruātur: quibus autem ſubcruentum, & cœnoſum, hi pereunt.

Si verò aſsiliente ad ſeptū trāſuerſum morbo, alia ſigna nō mala acceſſerit, hunc ſuppuratum fore multa ſpes eſt.

Porrò veſicæ duræ & dolentes, penitus quidem horrēdæ ac pernicioſæ ſunt, pniciosiſsimæ verò quę cum febre continua fiunt. Etenim dolores ab ipſis veſicis ad occidendum ſufficiunt, & alui non egerunt hoc tem-

pore, nisi durũ quiddam, & hoc coactæ.

νῳ, εἰ μὴ σκληρόν τι καὶ πρὸς ἀνάγκην.

Soluit autem vrina purulenta micta, quę albam ac lęuem subsidentiam habet.

Λύει δὲ οὖρον πυῶδες οὐρηθὲν, λευκὴν καὶ λείην ἔχον τὴν ὑπόστασιν.

Si verò neque ab vrina quicquã remiserit dolor, neque vesica molliatur, & febris continua fuerit, in primis circuitib⁹ morbi ægrum moriturũ esse timor est.

Ἢν δὲ μήτε τῷ οὔρῳ μηδὲν ἐνδιδῷ ὁ πόνος, μήτε ἡ κύστις μαλάσσηται, ὅ, τε πυρετὸς ξυνεχὴς ᾖ, ἐν τῇσι πρώτῃσι περιόδοισι τοῦ νοσήματος, ἐλπὶς τὸν ἀλγέοντα ἀπολέσθαι.

Atque hic modus potissimum pueros corripit septẽnes, donec ad quintumdecimum annum peruenerint.

Ὁ δὲ τρόπος οὗτος ἅπτεται τῶν παιδίων μάλιστα τῶν ἑπταετέων, ἕως ἂν ἐς τὰ πεντεκαίδεκα ἔτεα γίνωνται.

Febres iudicantur in ijsdẽ numero diebus ex quibus & superstites euadũt homines, & ex quibus pereunt. Etenim placidissimæ febres, &

Οἱ δὲ πυρετοὶ κρίνονται ἐν τῇσιν αὐτέῃσιν ἡμέρῃσι τὸν ἀριθμὸν, ἐξ ὧν τε περιγίνονται οἱ ἄνθρωποι, καὶ ἐξ ὧν ἀπόλλυνται. οἵ τε γὰρ εὐηθέστατοι τῶν πυρετῶν, καὶ

τῶν σημείων ἀσφαλεστά-
των βεβῶτες τεταρ-
ταῖοι παύονται ἢ πρό-
σθεν· οἱ, τε δὲ κακοηθέ-
στατοι καὶ τῶν σημείων
δεινοτάτων γινόμενοι,
τεταρταῖοι κτείνουσιν
ἢ πρόσθεν. ἡ μὲν οὖν
πρώτη ἔφοδος αὐτέ-
ων οὕτω τελευτᾷ· ἡ δὲ
δευτέρη, ἐς τὴν ἑβδό-
μην περιάγεται· ἡ δὲ
τρίτη, ἐς τὴν ἑνδεκά-
την· ἡ δὲ τετάρτη, ἐς
τὴν τεσσαρεσκαιδεκά-
την· ἡ δὲ πέμπτη, ἐς τὴν
ἑπτακαιδεκάτην· ἡ δὲ
ἕκτη, ἐς τὴν εἰκοστήν.
αὗται μὲν οὖν ἐκ τῶν
ὀξυτάτων νοσημά-
των διὰ τεσσάρων ἐς
τὰς εἴκοσιν, ἐκ προς-
θέσιος τελευτῶσιν.

Οὐ δύναται δὲ ὅλη-
σιν ἡμέρῃσιν οὐδὲν του-
τέων ἀριθμεῖσθαι ἀτρε-
κέως, οὐδὲ γὰρ ὁ ἐνιαυ-

signis securissimis ni
tētes, quarto die de-
finunt, aut priús. Ma
lignissimæ verò, &
quæ signis horren-
dissimis fiunt quar-
to die aut priùs oc-
cidunt. Primus igi-
tur ipsarum insul-
tus sic desinit: se-
cundus autem, ad
septimum produci-
tur: tertius, ad vn-
decimum: quartus,
ad decimumquar-
tum: quintus, ad
decimumseptimum:
sextus, ad vigesi-
mum. Hi igitur im
petus ex acutissimis
morbis per quatuor
ad viginti, ex addi-
tione desinunt. Nō
potest autem quic-
quam horū integris
diebus exactè nume
rari. Neq; enim an-

nus & menſes integris diebus numerari poſſunt. Poſteà verò eodē modo iuxta eandē additionē, primus circuit' IIII. & xxx. dierū eſt: ſecūd' xl. dierū, tertius lx. dierū. At in horum prīcipiis difficillimū eſt cognoſcere eos qui in plurimo tēpore iudicabuntur: ſimillima enim ſunt ipſorū principia. Verùm à primo die animaduerſionem facere oportet, & prout ſinguli quaternarij adduntur, conſiderare, & non latebit te quo vertetur morbus. Fit autem & quartanarum febriū cōſtitutio ex huiu modi ordine.

Qui porrò morbi

τός τε καὶ οἱ μῆνες ὅλῃσιν ἡμέρῃσιν πεφύκασιν ἀριθμεῖσθαι. μετὰ δὲ ταῦτα ἐν τῷ αὐτέῳ τρόπῳ, κατὰ τὴν αὐτὴν πρόσθεσιν ἡ πρώτη περίοδος τεσσάρων καὶ τριήκονθ' ἡμερέων· ἡ δὲ δευτέρη, τεσσαράκοντα ἡμερέων· ἡ δὲ τρίτη, ἑξήκοντα ἡμερέων. τουτέων δ' ἐν ἀρχῇσιν ἐστὶ χαλεπώτατον διαγινώσκειν τὰ μέλλοντα ἐν πλείστῳ χρόνῳ κρίνεσθαι· ὁμοιόταται γὰρ αἱ ἀρχαί εἰσιν αὐτέων. ἀλλὰ χρὴ ἀπὸ τῆς πρώτης ἡμέρης ἐνθυμέεσθαι, καὶ καθ' ἑκάστην τετράδα προστιθεμένην σκέπτεσθαι. καὶ οὐ λήσει ὅπῃ τρέψεται τὸ νόσημα. γίνεται δὲ ἡ τῶν τεταρταίων κατάστασις ἐκ τῆς τοιούτου κόσμου.

Τὰ δὲ ἐν ἐλαχίστῳ

χρόνῳ μέλλοντα κρίνεσθαι, εὐπετέστερα γινώσκεσθαι· μέγιστα γὰρ τὰ διαφέροντα ἀπ' ἀρχῆς αὐτέων ἐστίν. οἱ μὲν γὰρ περιεσόμενοι, εὔπνοοί τε καὶ ἀνώδυνοί εἰσι, καὶ κοιμῶνται τὰς νύκτας, τά τε ἄλλα σημεῖα ἔχουσιν ἀσφαλέστατα. οἱ δὲ ἀπολλύμενοι, δύσπνοοι γίνονται, ἀλλοφάσσοντες, ἀγρυπνέοντες, τά τε ἄλλα σημεῖα κάκιστα ἔχοντες. ὡς οὖν τουτέων οὕτω γινομένων, ξυμβάλλεσθαι χρὴ κατά τε τὸν χρόνον, κατά τε τὴν πρόσθεσιν ἑκάστην ἐπὶ τὴν κρίσιν ἰόντων τῶν νοσημάτων. κατὰ δὲ τὸν αὐτὸν λόγον, καὶ τῇσι γυναιξὶν αἱ κρίσιες ἐκ τῶν τόκων γίνονται.

in breuiſsimo tẽpore iudicabũtur, faciliores cognitu ſunt: maximę enim differẽtiæ ab initio ipſis ſunt. Qui enim ſuperſtites ab ipſis euaſuri ſunt facilè ſpirantes, & doloris exortes ſunt, & noctu dormiũt, aliáq; ſigna ſecuriſsima habent. Qui verò morituri, ægrè ſpirãtes fiunt, delirãtes, vigilantes, aliáq; ſigna peſsima habẽtes. Vt igitur his ita cõtingentibus, cõiectare oportet & iuxta hoc tẽpus, & iuxta vnamquãque additionem, tendentibus ad iudicationẽ morbis. Iuxta eandem rationẽ mulieribus quoq; iudicationes fiũt ex partu.

Capitis doloresfortes & continui cum febre, ſi quidem letalium ſignorum quid acceſſerit, pernicioſi valde ſunt.

Si verò abſque talibus ſignis, dolor viginti dies tranſmiſerit, & febris tenuerit, ſanguinis à naribus eruptionem aut abſceſſum quẽdam ad infernas partes expectare oportet.

Sed & quãdiu dolor recens fuerit, ſimiliter ſanguinis è narib⁹ ruptionem, aut puris eruptionẽ ſperare conuenit, cũ aliàs, tũ ſi dolor circa tempora & frontem fuerit.

Verũ ſanguinis eruptio magis expectanda eſt iuniorib⁹ tri-

Κεφαλῆς δὲ ὀδύναι ἰσχυραί τε καὶ ξυνεχέες, ξὺν πυρετῷ, ἢν μέν τι τῶν θανατωδέων σημείων προσγίνοιτο, ὀλέθριον κάρτα.

Εἰ δὲ ἄτερ τῶν τοιούτων σημείων ἡ ὀδύνη ὑπερβάλλοι εἴκοσιν ἡμέρας, ὅ τε πυρετὸς ἔχοι, ἐπισκέπτεσθαι χρὴ αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἄλλην τινὰ ἀπόστασιν ἐς τὰ κάτω χωρία.

Ἐσ' ἂν δὲ καὶ ἡ ὀδύνη ἡ νεαρὰ προσδέχεσθαι χρὴ ὡσαύτως, αἵματος ῥῆξιν διὰ ῥινῶν, ἢ ἐκπύησιν· ἄλλως τε ἢν ἡ ὀδύνη περὶ τοὺς κροτάφους ᾖ, τὸ μέτωπον ᾖ.

Μᾶλλον δὲ χρὴ προσδέχεσθαι τοῦ μὲν αἵματος τὴν ῥῆξιν τοῖσι νεωτέροισι πέντε καὶ

τριήκον

τριήκοντα ἐτέων· τοῖσι δὲ γεραιτέροισι, τὴν ἐκπύησιν.

Ὠτὸς δὲ ὀξεῖη ὀδύνη ξὺν πυρετῷ ξυνεχεῖ τε καὶ ἰσχυρῷ, δεινόν· κίνδυνος γὰρ παραφρονῆσαι τὸν ἄνθρωπον, καὶ ἀπολέσθαι. ὡς οὖν τουτέου τοῦ τρόπου σφαλεροῦ ἐόντος, ταχέως δεῖ προσέχειν τὸν νόον τοῖσι σημείοισι πᾶσιν, ἀπὸ τῆς πρώτης ἡμέρης.

Ἀπόλλυνται δὲ, οἱ μὲν νεώτεροι τῶν ἀνθρώπων, ἑβδομαῖοι, καὶ ἔτι θᾶσσον, ἀπὸ τουτέου τοῦ νοσήματος· οἱ δὲ γέροντες, πολλῷ βραδύτερον. οἵ τε γὰρ πυρετοὶ καὶ αἱ παραφροσύναι ἧσσον αὐτέοισιν ἐπιγίνονται, καὶ τὰ ὦτα διὰ τοῦτο φθάνει ἐκπυΐσκεσθαι. ἀλλὰ ταύτῃσι μὲν τῇσιν ἡλικίῃ-

ginta quinque annis, senioribus verò, puris eruptio.

Auris dolor acutus cum febre continua ac forti, horrendus est: periculũ est enim deliraturũ esse hominem, ac periturum. Proinde quum hic modus minimè tutus sit, cito mentẽ aduertere oportet etiam alijs signis, à primo statim die.

Pereunt autem iuniores homines, septimo die, & adhuc citius, ex hoc morbo: senes verò, longè tardiùs. Nam & febres & deliria minùs ipsis accidunt: & hac de causa aures anteà suppurantur. Verùm his quidem ætatibus reci-

diuæ morbi contingentes, plurimos occidũt. At verò iuniores, priusquàm suppuretur auris, pereunt.

Nam si pus album effluxerit ex aure, spes est iuuenem superstitem euasurum esse, si sanè & aliud quoddam bonũ signum ipsi accedat.

Fauces exulceratę cum febre, horrẽdæ sunt. Verùm si quod aliud item signũ accedat, ex his quæ anteà mala esse iudicata sunt, in periculo hominẽ versari prædicendum est.

Anginæ horrẽdissimæ sunt, & citissimè occidũt, quæ neque in faucib⁹ quicquam conspicuũ faciunt, neq; in cerui-

σιν ἀποστροφαὶ τοῦ νοσήματος ἐπιγινόμεναι, ἀποκτείνουσι τοὺς πλείστους. οἱ δὲ νεώτεροι, πρὶν ἐκπυῆσαι τὸ οὖς, ἀπόλλυνται.

Ἐπήνγε ῥυῇ πῦον λευκὸν ἐκ τοῦ ὠτὸς, ἐλπὶς τῷ νεωτέρῳ περιγενέσθαι, ἤνγε καὶ ἄλλο τι αὐτέῳ ἐπιγένηται χρηστὸν σημεῖον.

Φάρυγξ δὲ ἑλκουμένη, σὺν πυρετῷ, δεινόν· ἀλλ' ἤν τι καὶ ἄλλο σημεῖον γένηται τῶν προκεκριμένων πονηρῶν εἶναι, προλέγειν ὡς ἐν κινδύνῳ ἐόντος τοῦ ἀνθρώπου.

Αἱ δὲ κυνάγχαι, δεινόταται μέν εἰσι καὶ τάχιστα ἀναιροῦσιν, ὁκόσαι μήτε ἐν τῇ φάρυγγι μηδὲν ἔκδηλον ποιέουσι, μήτε ἐν τῷ αὐχέ-

νι· πλεῖστον δὲ πόνον παρέχουσι καὶ ὀρθόπνοιαν· αὗται γὰρ καὶ αὐθήμερον ἀποπνίγουσι, καὶ δευτεραῖαι, καὶ τριταῖαι, καὶ τεταρταῖαι. ὅσαι δὲ τὰ μὲν ἄλλα παραπλησίως πόνον παρέχουσιν, ἐπαίρονται δὲ, καὶ ἐρυθήματα ἐν τῇ φάρυγγι ποιέουσιν, ὀλέθριαι μὲν κάρτα, χρονιώτεραι δὲ μᾶλλον τῶν πρόσθεν, ἢν τὸ ἐρύθημα μέγα γίνηται.

Ὁκόσοισι δὲ ξυνεξερευθείη ἡ φάρυγξ καὶ ὁ αὐχὴν, αὗται δὴ χρονιώτεραι· καὶ μάλιστα ἐξ αὐτέων τινὲς περιφεύγουσιν, ἢν ὅ,τε αὐχὴν, καὶ τὸ στῆθος ἐρύθημα ἔχῃ, καὶ μὴ παλινδρομέῃ τὸ ἐρυσιπέλας εἴσω.

ce: verùm plurimum dolorem exhibẽt, & erecta ceruice ſpirationẽ inducunt. Hæ enim eodem die ſuffocãt, ſecundo item ac tertio, & quarto. Quæ verò alioqui ſimiliter dolorẽ exhibent, attolluntur autẽ, & in faucibus rubores faciũt, perniciosę quidem valde ſunt, verùm prioribus magis diuturnæ, ſi rubor fuerit magnus.

Quibuſcunq; verò fauces & ceruix ſimul rubuerint, hæ anginæ diuturniores sũt & ex ipſis maximè euadunt, ſi & ceruix, & pectus ruborẽ habuerit, & eryſipelas, i. ignis ſacer nó intro recurrerit

Si verò neq; in diebus iudicatorijs dissipetur erysipelas, neque tuberculum ad externã partem conuertatur, neque pus tussiendo reijciat, facileque ac sine dolore degere videatur, mortẽ significat, aut ruboris recidiuam.

Ἢν δὲ μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν ἀφανίζηται τὸ ἐρυσίπελας, μήτε φύματος ξυστραφέντος ἐν τῷ ἔξω χωρίῳ, μήτε πῦον ἀποβήσσῃ, εὐπετέως τε καὶ ἀπόνως ἔχειν δοκέῃ, θάνατον σημαίνει, ἢ ὑποστροφὴν τοῦ ἐρυθήματος.

Securius est autem tumorem & rubore quàm maximè foras verti: si verò ad pulmonem vertatur, & delirium inducit, & quidã ex ipsis suppurati plerunq; fiunt.

Ἀσφαλέστερον δὲ τὸ οἴδημα καὶ τὸ ἐρύθημα ὡς μάλιστα ἔξω τρέπεσθαι· ἢν δὲ ἐς τὸν πνεύμονα τραπείη, παράνοιάν τε ποιέει, καὶ ἔμπυοι ἐξ αὐτέων τινὲς ὡς τὰ πολλὰ γίνονται.

Gurguliones periculosi sunt vt & resecentur & scarificentur, q̃ diu rubicundi fuerint & magni. nã inflammationes ad hos succedunt, & sanguinis eruptiones.

Οἱ δὲ γαργαρεῶνες, ἐπικίνδυνοι καὶ ἀποτάμνεσθαι καὶ ἀποσχάζεσθαι, ἕως ἂν ἐρυθροί τε ὦσι καὶ μεγάλοι· καὶ γὰρ φλεγμοναὶ ἐπιγίνονται τουτέοισι καὶ αἱμορραγίαι.

ἀλλὰ χρὴ τὰ τοιαῦτα τοῖσιν ἄλλοισι μηχανήμασι πειρῆσθαι κατισχναίνειν ἐν τουτέῳ τῷ χρόνῳ.

Ὁπόταν δὲ ἀποκριθῇ ἤδη πᾶν, ὃ δὴ σταφυλὴν καλέουσι, καὶ γένηται, τὸ μὲν ἄκρον τοῦ γαργαρεῶνος, μεῖζόν τε καὶ περιφερές· τὸ δὲ ἀνωτέρω, λεπτότερον ἐν τουτέῳ τῷ καιρῷ, ἀσφαλὲς διαχειρίζειν. ἄμεινον δὲ καὶ τὴν κοιλίην ὑποκενώσαντα χειρουργίῃ χρῆσθαι, ἤν ὅ,τε χρόνος ξυγχωρέῃ, καὶ μὴ ἀποπνίγηται ὁ ἄνθρωπος.

Ὁκόσοισι δ' αὖ οἱ πυρετοὶ παύωνται, μήτε σημείων γινομένων λυτηρίων, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὑποστροφὴν προσδέχεσθαι χρὴ τουτέοισιν.

Ὅτῳ δ' ἂν τῶν πυρετῶν μη

Quare tales alijs machinamentis attenuare conari oportet hoc tempore.

Quum verò totum iam fuerit ſecretum. quòd ſanè vuam appellant, & fiat extrema gurgulionis pars maior & rotunda, ſuperior autē tenuior, in hoc tempore tutū eſt rem aggredi. Præſtat tamē & aluo ſubducta, chirurgia hac vti, ſi & tempus permittat, & homo non ſtranguletur.

Quibus febres ceſſant, neque ſignis ſolutorijs apparētibus, neque in diebus iudicatorijs, his reuerſuras eſſe expectandum eſt.

Quæcunque febris longiorē morá traxe

rit homine alioqui ad ſalutem diſpoſito, ita vt neq; dolor teneat ob inflammationem, aut ob aliquam aliam manifeſtã cauſam, huic abſceſſum expectare oportet cũ tumore ac dolore ad aliquem articulum, vel maximè infernũ.

Fiunt autem huiuſmodi abſceſſus magis, & in breuiori tẽpore, his qui iuniores ſunt triginta annis.

Expectare verò ſtatim oportet abſceſſum ſi febris detinẽs viginti dies tranſmiſerit. Senioribus autẽ minus fiunt, diuturniore etiam exiſtente febre.

At verò huiuſmodi abſceſſum expectare oportet febre con

κοινῆ περιεστικῶς διακειμένου τοῦ ἀνθρώπου, μηκέτι ὀδύνης ἐχούσης διὰ φλεγμονήν τινα, μήτε διὰ πρόφασιν ἄλλην μηδεμίην ἐμφανέα, τουτέῳ προσδέχεσθαι ἀπόστασιν μετ' οἰδήματός τε καὶ ὀδύνης ἐς τι τῶν ἄρθρων, καὶ οὐχ ἧσσον ἐκ τῶν κάτω.

Μᾶλλον δὲ γίνονται καὶ ἐλάσσονι χρόνῳ αἱ τοιαῦται ἀποστάσιες, τοῖσι νεωτέροισι τριήκοντα ἐτέων.

Ὑποσκέπτεσθαι δὲ χρὴ εὐθέως τὰ περὶ τῆς ἀποστάσιος, ἢν εἴκοσιν ἡμέρας ὁ πυρετὸς ἔχων, ὑπερβάλλῃ. τοῖσι δὲ γεραιτέροισιν ἧσσον γίνεται πολυχρονιωτέρου ἐόντος τοῦ πυρετοῦ.

Χρὴ δὲ τὴν μὲν τοιαύτην ἀπόστασιν προσδέχεσθαι συνεχέος ἐόντος τοῦ πυ-

ρετοῦ ἐς δὲ τεταρταῖον καταστήσεται, ἢν διαλείπῃ τε καὶ καταλαμβάνῃ πεπλανημένον τρόπον, καὶ ταῦτα ποιέων τῷ φθινοπώρῳ προσπελάσῃ.

Ὥσπερ δὲ τοῖσι νεωτέροισι τῶν τριήκοντα ἐτέων αἱ ἀποστάσιες γίνονται, οὕτως οἱ τεταρταῖοι μᾶλλον τοῖσι τριήκοντα ἐτέων, καὶ γεραιτέροισι.

Τὰς δὲ ἀποστάσιας εἰδέναι χρή, τοῦ χειμῶνος μᾶλλον γινομένας, χρονιώτερόν τε παυομένας, ἧσσον δὲ παλινδρομεούσας.

Ὅστις δ' ἂν ἐν πυρετῷ μὴ θανατώδει φῇ τὴν κεφαλὴν ἀλγέειν, ἢ καὶ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἢ καρδιωγμὸς τουτέῳ προσγίνηται, χο-

tinua existente: verũ ad quartanam deducetur, si intermiserit, & erroneo modo apprehenderit, & si hæc faciens ad autumnũ appropinquarit.

Quemadmodũ autem iunioribus triginta annis abscessus fiũt, ita quartanę magis his qui triginta sunt annorum, & senioribus.

Cæterùm hęc nosse expedit, abscessus magis hyeme fieri, tardiúsque cessare, & minus recurrere.

Quicunq; verò in febre non letali, dixerit sibi caput dolere, aut etiam præ oculis obscurum quiddam apparere, si & osculi vẽtris morsus huic accesserit, ei bilio-

ſus vomitus aderit.

λώδης ἔμετος παρέσται.

Si verò etiam rigor acceſſerit, & partes infra pręcordium frigidas habuerit, citius adhuc vomitꝰ aderit.

Ἢν δὲ καὶ ῥῖγος προσγίνηται, καὶ τὰ κάτω μέρη τοῦ ὑποχονδρίου ψυχρὰ ἔχῃ, καὶ θᾶσσον ἔτι ὁ ἔμετος παρέσται.

At ſi quid biberit aut ederit ſub hoc tẽpus, valde cito vomet.

Ἢν δέ τι πίῃ ἢ φάγῃ ὑπὸ τοῦτον τὸν χρόνον, κάρτα τοῦτο ταχέως ἐμεῖται.

Porrò quibus horũ dolor fieri inceperit primo die, hi quarto magis quàm quinto premuntur: ſeptimo verò liberantur.

Τουτέων δὲ οἷσιν ἂν ἄρξηται ὁ πόνος τῇ πρώτῃ ἡμέρῃ γίνεσθαι, τεταρταῖοι πιέζονται μάλιστα καὶ πεμπταῖοι, ἐς δὲ τὴν ἑβδόμην ἀπαλλάσσονται.

Plerique tamen ipſorum tertio die dolere incipiunt, vexantur autem maximè quinto, liberãtur nono aut vndecimo.

Οἱ μέντοι πλείονες αὐτῶν, ἄρχονται μὲν πονέεσθαι, τριταῖοι· χειμάζονται δὲ μάλιστα, πεμπταῖοι· ἀπαλλάσσονται δὲ, ἐναταῖοι, ἢ ἑνδεκαταῖοι.

Qui verò inceperint quinto die dolere, aliáque iuxta rationem priorum ip-

Οἳ δ᾽ ἂν ἄρξωνται πεμπταῖοι πονέεσθαι, καὶ τὰ ἄλλα κατὰ λόγον αὐ-

τρέοισι τὴν πρόσθεν γίνηται, ἐς τὴν τεσσαρεσκαιδεκάτην κρίνεται ἡ νοῦσος. γίνεται δὲ ταῦτα. τοῖσι μὲν ἀνδράσι, καὶ τῇσι γυναιξὶ, ἐν τοῖσι τριταίοισι μάλιστα· τοῖσι δὲ νεωτέροισι, γίνεται μὲν καὶ ἐν τούτοισι, μᾶλλον δὲ ἐν τοῖσι ξυνεχεστέροισι πυρετοῖσι, καὶ ἐν τοῖσι γνησίοισι τριταίοισιν.

Οἷσι δ' ἂν τοιουτοτρόπου πυρετοῦ, κεφαλὴν ἀλγέουσιν, ἀντὶ δὲ τοῦ ὀρφνῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαίνεσθαι, ἀμβλυωσμὸς γίνεται, ἢ μαρμαρυγαὶ προφαίνονται· ἀντὶ δὲ τοῦ καρδιώσσειν, ἐν τῷ ὑποχονδρίῳ ἢ ἐπὶ δεξιὰ ἢ ἐπ' ἀριστερὰ, ξυντείνεταί τι, μήτε ξὺν ὀδύνῃ μήτε ξὺν φλεγμονῇ, αἷμα διὰ τῶν ῥινῶν τού

ſis fiant, his ad decimumquartū morbus iudicatur. Fiunt autē hæc & viris, & mulieribus, maximè in tertianis. Iunioribus verò fiunt quidem & in his, verùm magis in continuis febribus, & in ſinceris tertianis.

Quibuſcunq; verò in huiuſmodi febre caput dolētibus, pro eo quod obſcurum quiddam præ oculis appareat, viſus hebetudo contingit, aut ſplendores ob oculos obuerſantur: & pro oſculi ventris morſu in præcordiorū dextra aut ſiniſtra parte aliquid tenditur, neque cū dolore, neq; cū inflāmatione, ſanguinē de naribus his

pro vomitu fluxum esse expectãdum est. Magis tamen & hîc in iuuenibus sanguinis eruptionem expectare oportet: his autẽ qui triginta sunt annorum, & seniores adhuc, minus, verùm vomitus in his expectari debent.

At verò pueris conuulsiones fiunt, si febris fuerit acuta, & vẽter non egesserit, & vigilarint, & terreãtur, & eiularint, & colorem mutarint, & viridem siue pallidũ, aut liuidum, aut rubrum contraxerint.

Fiunt autem hæc promptissimè quidẽ pueris nuperrimè editis, vsque ad septimũ annum: seniores autem pueri, & viri, nõ

τοῖσι ξυνῆναι προσδόκιμον, ἀντὶ τοῦ ἐμέτου. μᾶλλον δὲ καὶ ἐνταῦθα τοῖσι νέοισι τοῦ αἵματος τὴν ῥῆξιν προσδέχεσθαι· τοῖσι δὲ τριήκοντα ἔτεσι καὶ γεραιτέροισιν, ἧσσον, ἀλλὰ τῶν ἐμέτους τούτοις προσδέχεσθαι.

Τοῖσι δὲ παιδίοισι σπασμοὶ γίνονται, ἢν ὁ πυρετὸς ὀξὺς ᾖ, καὶ ἡ γαστὴρ μὴ διαχωρέῃ, καὶ ἀγρυπνέωσί τε, καὶ ἐκπλαγέωσι, καὶ κλαυθμυρίζωσι, καὶ τὸ χρῶμα μεταβάλλωσι, καὶ χλωρὸν, ἢ πέλιον, ἢ ἐρυθρὸν ἴσχωσι.

Γίνεται δὲ ταῦτα ἐξ ἑτοιμοτάτου μὲν τοῖσι παιδίοισι τοῖσι νεωτάτοισιν, ἐς τὰ ἑπτὰ ἔτεα· τὰ δὲ πρεσβύτερα τῶν παιδίων καὶ οἱ ἄνδρες, οὐκ

ἔτι ἐν τοῖσι πυρετοῖσιν ἀπὸ τῶν σπασμῶν ἁλίσκονται, ἢν μή τι τῶν σημείων προσγένηται τῶν ἰσχυροτάτων τε καὶ κακίστων, οἷά περ ἐν τῇσι φρενίτισι γίνεται.

amplius in febribus corripiuntur conuulsionibus, nisi quid ex signis fortissimis ac pessimis accesserit, qualia sanè in phrenitide fieri solent.

Τοὺς δ' ἀπολυμένους τε καὶ περιεσομένους τῶν παιδίων τε καὶ τῶν ἄλλων, τεκμαίρεσθαι τοῖς ξύμπασι σημείοισιν, ὥς ἐφ' ἑκάστοισιν ἕκαστα διαγέγραπται. ταῦτα δὲ λέγω, περί τε τῶν ὀξέων νοσημάτων καὶ ὅσα ἐκ τουτέων γίνεται.

Perituros porrò & superstites futuros, tum pueros, tũ alios, ex omnibus signis cõiectare oportet, prout singula de singulis perscripta sunt. Atque hæc & de acutis morbis, & de his qui ex ipsis oriuntur, dico.

Χρὴ δὲ τὸν μέλλοντα ὀρθῶς προγινώσκειν τοὺς περιεσομένους καὶ τοὺς ἀποθανουμένους, ὅσοισί τε ἂν μέλλῃ πλέονας ἡμέρας παραμένειν τὸ νόσημα, καὶ ὅσοισιν ἂν ἐ-

Qui verò rectè prænoscere volet, & superstites futuros, & morituros: & quibus per plures dies duraturus est morbus, & quibus ad paucio-

res, cum ſigna omnia ediſcere, & iudicare poſſe conuenit, ita vt vires ipſorum inter ſe conferendo expendat, quemadmodum perſcriptum eſt, & de alijs, & de vrinis, & de ſputis, vbi ſimul & pus & bilem ægrotus tuſſiendo reiecerit.

λάσους, τὰ σημεῖα ἐκμανθάνοντας πάντα δύνασθαι κρίνειν, λογιζόμενον τὰς δυνάμιας αὐτέων πρὸς ἀλλήλας, ὥσπερ διαγέγραπται, περί τε τῶν ἄλλων, καὶ τῶν οὔρων, καὶ τῶν πτυέλων, ὅταν ὁμοῦ πῦόν τε ἀναβήσσῃ καὶ χολήν.

Quin & impetus morborũ ſemper populariter graſſantiũ cito animaduertere oportet, & temporis conſtitutionem non ignorare. Probè tamen id noſſe expedit de cõiecturis certis, & alijs ſignis, & non ignorare quòd in omni anno, & omni tempore, mala malum, bona bonum ſignificant. Nam & in Li-


Χρὴ δὲ καὶ τὰς φορὰς τῶν νοσημάτων ἀεὶ ἐπιδημεουσέων ταχέως ἐνθυμεῖσθαι, τήν τε τῆς ὥρης κατάστασιν. οὐ μέντοι χρὴ εἰδέναι, περὶ τῶν τεκμηρίων, καὶ τῶν ἄλλων σημείων, καὶ μὴ λανθάνειν, ὅτι ἐν παντὶ ἔτει καὶ πάσῃ ὥρῃ, τά τε κακὰ κακὸν σημαίνει, καὶ τὰ χρηστὰ ἀγαθόν· ἐπεὶ καὶ ἐν Λιβύῃ, καὶ ἐν Δήλῳ, καὶ ἐν Σκυθίῃ

φαίνεται τὰ προγεγραμμένα ἀληθεύοντα σημεῖα. ἐξ ὧν χρὴ εἰδέναι, ὅτι ἔστι τοῖσιν αὐτοῖσι χωρίοισιν, οὐδὲν δεινὸν, τὰ πολλαπλάσια, αὐτῶν ἐπιτυγχάνειν, ἢν ἐκμαθών τις αὐτὰ κρίνειν τε καὶ λογίζεσθαι ὀρθῶς ἐπίσηται.

Ποθέειν δὲ χρὴ οὐδενὸς νοσήματος ὄνομα ὅ,τι μὴ τυγχάνῃ ἐνθάδε γεγραμμένον· πάντα γὰρ ὁκόσα ἐν τοῖσι χρόνοισι τοῖσι προειρημένοισι κρίνεται, γνώσῃ τοῖσιν αὐτέοισι σημείοισιν.

bya,& Delo ac Scythia, præscripta signa vera comperiuntur: proinde sciendũ est minimè difficile esse in ijsdem regionibus posse aliquem pleraque ex ipsis assequi, si memoria tenens ipsa, iudicare ac rectè expendere sciat.

Cæterùm nullius morbi nomen desiderare oportet, quod hic non est ascriptũ. Omnes enim qui in prædictis tẽporibus iudicãtur, ex ijsdem signis cognosces.



# ΙΠΠΟΚΡΑΤΟΥΣ κωακαὶ προγνώσεις.

# HIPPOCRATIS Coacæ prænotiones.

Οἱ ἐκ ῥίγεος περιψυχόμενοι, κεφαλαλγέες, τράχηλον ὀδυνώδεες, ἄφωνοι, ἐφιδροῦντες, ἐπανενέγκαντες, θνήσκουσιν.

Qui ex rigore perfrigerantur, caput, ac collum dolẽtes, voce deſtituti, ĩſuper exudãtes, poſtquam ſe recollegerint, moriuntur.

Αἱ μετὰ καταψύξιος δυσφορίαι, κάκισται.

Moleſtè ferre morbum cum perfrigeratione, peſsimũ eſt.

Κατάψυξις μετὰ σκληρισμοῦ, ὀλέθριον.

Perfrigeratio cum duritia pniciosa eſt.

Ἐκ καταψύξιος φόβος καὶ ἀθυμίη ἄλογος, ἐς σπασμὸν ἀποτελευτᾷ.

Ex perfrigeratione timor & triſtitia præter rationem, in conuulſionem finit.

Αἱ ἐκ καταψύξιος οὔρων ἀπολήψιες, κάκιστον.

Ex perfrigeratione vrina intercipi, peſsimum eſt.

Μετὰ ῥίγεος ἄγνοια, κακόν· κακὸν δὲ καὶ λήθη.

Ignorantia cum rigore, malum: malũ item obliuio.

Soporoſi rigores aliquatenus pernicioſi: & flammeus in facie color, cum ſudore, in his malignꝰ eſt. in his frigiditas poſteriorum partiũ, cõuulſionẽ accerſit. & in ſumma, poſteriorum partiũ frigiditas, cõuulſoria eſt.

Τὰ κωματώδεα ῥίγεα ὀλέθρια· καὶ τὸ φλογῶδες ἐν προσώπῳ μεθ' ἱδρῶτος, ἐν τούτοισι κακοήθεες. ὑπὸ τουτέοισι ψύξις τῶν ὄπισθεν, σπασμὸν ἐπικαλέεται. καὶ ὅλως δὲ ψύξις τῶν ὄπισθεν σπασμῶδες.

Ex dorſo horrores frequentes, & cito tranſeuntes, ægrè tolerari poſſunt. vrinæ enim interceptionem eámque doloroſam ſignificãt. inſuper exudare, his peſsimum eſt.

Αἱ ἐκ νώτου φρῖκαι πυκναὶ, καὶ ὀξέως μεταπίπτουσαι, δύσφοροι· οὔρου γὰρ ἀπόληψιν καὶ ἐπώδυνον σημαίνουσι. τὸ ἐφιδροῦν τούτοισι κάκιστον.

Rigor cõtinenter vexans, corpore iam debili exiſtente, letalis eſt.

Ῥῖγος ἐν συνεχείᾳ τοῦ σώματος ἀσθενέος ἤδη ἐόντος, θανάσιμον.

Qui frequenter exudãt, ac inſuper rigẽt, pernicioſum hoc eſt:

Οἱ πυκνὰ ἐφιδροῦντες, καὶ ἐπιῤῥιγέοντες, ὀλέθριον·

καὶ ὑπὸ τῇσι τελευτῇσιν ἀναφαίνονται ἐμπύημα ἔχοντες, καὶ κοιλίας ταραχώδεας.

Τὰ ἐκ νώτου ῥίγεα δυσφορώτερα. ὃς δ᾽ ἂν ἑπτακαιδεκάτῃ ῥιγώσας, τετάρτῃ καὶ εἰκοστῇ ἐπιρριγοῖ, δύσκολον.

Οἱ φρικώδεες κεφαλαλγικοὶ ἐφιδροῦντες κακοήθεες.

Οἱ φρικώδεες ἐφιδροῦντες πολλῷ, δύσκολοι.

Τὰ πολλὰ νωθρώδεα ῥίγεα, κακοήθεα.

Οἷσιν ἑκταίοισι ῥίγεα γίνεται, δύσκριτον.

Ὁκόσοισι φρῖκαι πυκναὶ ὑγιαίνουσιν, οὗτοι ἐξ αἵματος ῥύσιος ἐκπυΐσκονται.

& in fine ſuppuratio nem habere comperiuntur, ventréſque perturbatos.

Rigores ex dorſo moleſtiores ſunt: qui vero decimaſeptima die rigoré habuit, & quarta ac viceſima inſuper riguerit, ma lignum hoc eſt.

Horrore affecti ca put dolétes exudantes, malignum id eſt.

Horrore affecti, multũ inſuper exudantes, difficili malo implicantur.

Rigores multi tor pidi, maligni ſunt.

Quibus ſexta die rigores fiũt, hi ægrè iudicantur.

Quibus ſanis hor rores frequẽtes ſunt, hi ex ſanguinis fluxione ſuppurantur.

Horror & ſpirandi difficultas in doloribꝰ, ſigna tabis ſunt.

Τὸ φρικῶδες καὶ τὸ δύσπνουν ἐν τοῖσι πόνοισι, σημεῖα φθινώδεα.

Ex pulmonis ſuppuratione, & circa ventrẽ aliquando ac claviculam dolores, & anxiè ſtertere, ſputi copiam in pulmone ſignificat.

Ἐξ ἐμπυήσιος πλεύμονος, ἢ κατὰ κοιλίην ἐνίοτε ἀλγήματα καὶ κληῗδα, καὶ τὸ ὑπορέγχειν ἀσώδεα, σημαίνει πτύελον πλῆθος ἐν τῷ πλεύμονι

Horrore affecti, anxij, delaſſati, lumbos dolentes, aluos humectas habent.

Οἱ φρικώδεες, ἀσώδεες, κοπιώδεες, ὀσφυαλγέες, κοιλίας καθυγραίνονται.

Affectiones inſuper rigentes, & quæ ad noctem aliquãto magis exacerbãtur, cum vigilijs ac delirio, in ſomnis aliquãdo vrinas inuoluntariè emittentes, in cõuulſionem deſinũt.

Τὰ ἐπιῤῥιγέοντα, ἐς νύκτα μᾶλλόν τι παροξυνόμενα, ἄγρυπνα, φλεγματώδεα, ἐν τοῖσιν ὕπνοισιν ἔστιν ὅτε οὖρον ὑπ' ἑωυτῶν χαλῶντα, φλεβοδονώδεα ἐς σπασμὸν ἀποτελευτᾷ.

Cõtinui rigores in acutis, praui ſunt.

Τὰ ξυνεχέα ῥίγεα ἐν ὀξέσι, πονηρόν.

Ex rigore cũ capi-

Αἱ ἐκ ῥίγεος μετὰ κε

φαλαλγίης ἐκλύσιες, ὀλέθριον.

tis dolore exolutiones perniciosæ.

Τὰ αἱματώδεα οὖρα ἐν τούτοισι πονηρόν.

Cruētæ in his vrinæ prauæ.

Ῥῖγος ὀπισθοτονώδες κτείνει.

Rigor cūtētione neruorū à tergo, necat.

Τὰ φρικώσαντα καὶ ἀνιδρώσαντα κρισίμως, ἐς τὴν αὔριον φρίξαντα παραλόγως, μὴ ἀγρυπνεῦντα, μήτε πεπαινόμενον, αἱμοῤῥαγήσειν οἴομαι.

Qui inhorruerūt & exudarūt iudicatorio modo, & postridie p̄ter rationē horruerūt, si quis nō vigilijs īfestetur, neq; cōcoxerit, ei sanguinē erupturū esse puto.

Τὰ μετὰ ῥίγεος ἐπισχόμενα οὖρα, πονηρὰ καὶ σπασμώδεα, ἄλλως τε, καὶ προκαρωθέντι. ἐλπὶς δὲ ἐπὶ τούτοισι καὶ τὰ παρὰ τὰ ὦτα.

Vrinæ cum rigore suppressę, malæ & conuulsoriæ, tum aliàs, tum si quis antea graui sopore pressus fuit: spes autē in his est abscessus retro aures fore.

Τριταιοφυέα ῥίγεα, ἢν ἐν μέσῳ παροξυνόμενα πυρετῷ ἀτάκτῳ, πάνυ κακοήθεα.

Rigores velut in febre tertiana, si ī media inordinata febre exacerbentur, valde maligni sunt.

Si verò contrario conuellentibus modo exacerbentur, cũ rigore & febre, perniciosum est.

Τἀναντία δὲ παροξυνόμενα τῶν σπώντων, τῶν μετὰ ῥίγευς καὶ πυρετοῦ, ὀλέθριον.

Vocis ĩterceptiões ex rigore, soluuntur tremore: & insup rigẽtes tremores succedentes iudicant.

Αἱ ἐκ ῥίγεος ἀφωνίαι, τρόμῳ λύονται· καὶ τοὺς ἐπεῤῥιγέοντας τρομώδεα γινόμενα κρίνει.

Qui ex rigore cũ capitis dolore exoluũtur, in periculo sunt.

Οἱ ἐκ ῥίγεος μετὰ κεφαλαλγίης ἐκλυόμενοι, σφαλεροί.

Cruẽta vrina his mala est.

Τὸ αἱματῶδες οὖρον τουτέοισι κακόν.

Quibus rigor, his vrinæ suppressio.

Οἷσι ῥῖγος, οὔρου ἐπίστασις.

Cõuulsio in febre, manuũ ac pedũ dolores, maligni sunt. malignus est & doloris ex femore ꝓgressus: neque genuũ dolor bonus: sed & surarũ dolores maligni sunt, mẽtémque emouent: tũ aliàs, tũ

Σπασμὸς ἐν πυρετῷ, χειρῶν καὶ ποδῶν πόνοι, κακοήθεες· κακοήθεες δὲ καὶ ἐκ μηροῦ ὁρμὴ ἀλγήματος· ἀλλ' οὐδὲ γουνάτων πόνος, χρηστόν· ἀτὰρ καὶ γαστροκνημιῶν πόνοι, κακοήθεες, καὶ γνώμης παραφορή· ἄλλως τε,

ῃ, οὖρον ἢν ἐναιωρηθῇ.

Οἱ ἐξ ὑποχονδρίων ἀλγήματος πυρετοὶ, κακοήθεες· τὸ καρῶδες ἐν τούτοισι, κάκιστον.

Οἱ μὴ διαλείποντες ἱδροῦντες πυκνὰ μετὰ ὑποχονδρίου ἐντάσεως, ὡς ἐπιτοπολὺ κακοήθεες· καὶ τὰ ἐς ἀκρώμιον καὶ κληῖδα στηρίζοντα ἀλγήματα, ἐν τούτοισι πονηρά.

Οἱ τριταιοφυέες ἀσώδεες πυρετοὶ, κακοήθεες.

Αἱ ἐν πυρετῷ ἀναυδίαι, κακόν.

Κοπιώδεες, ἀχλυώδεες, ἄγρυπνοι, κωματώδεες, ἱδροῦντες, ἀναθερμαινόμενοι, κακόν.

Οἱ κοπιώδεες μετὰ φρίκης ἱδρώσαν-

ſi vrinæ ſubſidentia in medio innatet.

Febres ex præcordiorum dolore malignæ ſunt, ſopor in his peſsimus eſt.

Qui frequenter exudare cum præcordij intenſione non ceſſant, plerunq; malignè habent: & dolores in ſummũ humerum ac clauiculam incumbentes, in his praui ſunt.

Febres tertianæ naturã referentes, cum anxietudine, malignæ ſunt.

Vocis interceptiones in febre, malæ.

Laſſati caligantes, vigilantes ſoporoſi, exudantes, recaleſcentes, male habẽt.

Laſſati cum horrore ſi exuda-

rūt iudicatorio modo, recalfacti in morbo acuto, male habent: tum aliàs, tum si circa hæc sanguis de naribus stillarit.

E regio morbo abú dè colorati, moriuntur: alba verò alui egestio in his p̃cedit.

Febres tertianæ naturam referentes erroneæ, in pares dies tráslapsæ difficiles.

Anxietudines ĩ diebus iudicatorijs, si in his sine sudore perfrigerētur, & omnes qui sine sudore perfrigerãtur citra iudicationẽ, male habẽt.

Et qui insuper riguerunt ex his, vbi vomuerunt meraca, anxij, tremuli in febre, malum.

Qui ex rigoribus,

τες κρισίμως, ἀναθερμανθέντες ἐν ὀξεῖ, κακόν· ἄλλως τε, κἢν αἷμα ἐπιστάξωσι περὶ ταῦτα.

Ικτερώδεες κατακορέες, θνήσκουσιν· λευκὸν διαχώρημα τουτέοισι προδιέρχεται.

Οἱ τριταιοφυέες πλανώδεες, ἐς ἀρτίας μεταπεσόντες, δύσκολοι.

Οἱ ἐν κρισίμοισιν ἀλυσμοὶ ἀνιδρωτὶ περιψυχόμενοι, καὶ ἅπαντες δὲ οἱ ἄνευ ἱδρῶτος περιψυχόμενοι ἀκρίτως, κακόν.

Καὶ οἱ ἐπεῤῥιγώσαντες ἐκ τούτων, ἐμέσαντες ἄκρητα, ἀσώδεες, τρομώδεες ἐν πυρετῷ, κακόν. καὶ φωνὴ δὲ ἐκ ῥίγεος.

Τὰ δὲ ἐκ ῥιγῶν

μικροῖσιν ἱδρῶσι περιψύχονται, κακόν.

paruis ſudoribꝰ perfrigerantur, malum.

Οἱ ἐφιδροῦντες ἄγρυπνοι ἀναθερμαινόμενοι, κακόν.

Exudantes vigilantes recaleſcẽtes, malum.

Οἱ ἐφιδροῦντες ἐν πυρετῷ, κακοήθεες.

Qui inſuper exudant in febre, malignè habent.

Οἷσι χολώδεος διαχωρήσιος ἐούσης, περὶ στῆθος δῆξις καὶ πικρότης, κακόν.

Quibus biliosa eſt alui egeſtio, ac circa pectus morſus & amaritudo, malũ eſt.

Ἐν πυρετοῖσι κοιλίης ἐμφυσωμένης, πνεῦμα μὴ διεκπίπτον, κακόν.

In febribus inflata aluo flatus nõ erumpere, malum.

Κοπιώδεες λυγγώδεες κάτοχοι, κακοί.

Laſſati ſingultientes ſtupore detenti, mali.

Ἐν νώτου πυκινῇσι καὶ λεπτῇσι φρίκῃσιν ἐφιδροῦντες, δύσφοροι.

In dorſi horroribus crebris ac tenuibus ĩſudãtes, ægrè ferũt.

Οὔρου ἀπόληψις ἐπώδυνον σημαίνει· τὸ ἐφιδροῦν τούτοισι, κακόν.

Vrina intercepta dolorẽ ſignificat, ſi ſudor accedat, malũ.

Τὸ παρὰ τὸ ἔθος ποιέειν τι, οἷον προθυ-

Præter conſuetudinem quid facere, velut eſt, propo-

nere sibi aliquid, & expectare aliquid prius non consuetũ, aut contrarium, malum est, & mentis emotioni proximũ.

μέλλεσθαί τι πρότερον μὴ ἐθισμένον, ἢ τοὐναντίον, πονηρὸν, καὶ πλησίον παρακοπῆς.

Qui morbi in malis signis leuantur, & qui in bonis non remittũt, difficiles sũt.

Τὰ ἐν πονηροῖσι σημείοισι κουφίζοντα, καὶ τὰ ἐν χρηστοῖσι μὴ ἐνδιδόντα, δύσκολα.

Qui exudãt & maximè capite in morbis acutis submolestè ferentes, malum: tum aliàs, tum si vrinæ sunt nigræ, & turbidus spiritus in his, malus.

Οἱ ἐφιδροῦντες καὶ μάλιστα κεφαλὴν ἐν ὀξέσι δυσφοροῦντες, κακόν· ἄλλως τε, καὶ ἐπ' οὔροισι μέλασι, καὶ τὸ θολερὸν ἐπὶ τούτοισι πνεῦμα, κακόν.

Extremæ partes si in vtranq; partem cito trãsmutentur, malum est: sed & sitis huiusmodi mala est.

Ακρεα ταχὺ ἐπ' ἀμφότερα μεταπίπτοντα, καὶ δίψα δὲ τοιαύτη, πονηρόν.

Ex moderato ferox responsio, atque vox acuta, malum. præ-

Εκ κοσμίου θρασεῖα ἀπόκρισις φωνὴ ὀξεῖα, κακόν. ὑποχόν-

δρια ξυντέοισιν εἴσω-εἰρύαται.

Τὰ ἐκ καταψύξιος ἱδρώδεος ταχὺ ἀναθερμαινόμενα, κακόν.

Οἱ ἐν ὀξέσιν ἐφιδροῦντες ἀποδύσφοροι, κακόν.

Οἱ παραλόγως, κενεαγγείης μὴ ἐούσης, ἀδύνατοι, κακόν.

Ἐν πυρετῷ ἧξις οἷον ἀπὸ ἐμέτου ἐς ἀνάχρεμψιν τελευτῶσα, κακόν.

Νάρκη ἐς ἀμφότερα ταχὺ μεταπίπτουσα, κακόν.

Στάξιες αἱ ἐλάχισται, κακαί.

Κακὸν δὲ πάντως ἐν ὀξεῖ δίψα παραλόγως λυθεῖσα.

Οἱ πρὸς χεῖρα ἀναΐσσοντες, κακοί.

Οἷσιν ἅμα πυρετῷ καυσώδει, οἰδήματα ὑπνώδεα νενωθρευμένα,

cordia his intro trahuntur.

Qui ex perfrigeratione ſudoroſa cito recaleſcunt, malum.

Qui in acutis exudant ſubmoleſtè ferẽtes, malum.

Qui pręter rationẽ nulla exiſtẽte vaſorũ euacuatione, impotentes fiunt, malum.

In febre tractus velut à vomitu, ĩ ſcreatioñe deſinẽs, malũ.

Torpor in vtrunq; cito trãſlatus, malũ.

Sanguinis ſtillę puſillæ, malæ.

In acuto morbo ſitis præter rationẽ ſoluta, malum.

Qui ad manum exiliũt, male habẽt.

Quibus cum febre ardẽte, tumores ſomnolenti, torpidi fiũt,

his dolor in latus ſuperueniens leuis ſiderationis ac reſolutionis modo occidit.

ἐς πλευρὸν ὀδύνη ἐπελθοῦσα παραπληκτικῶς κτείνει.

Suffocatio in acutis ægris attenuatis, pernicioſa.

Πνιγμὸς ἐν ὀξέξιν ἐλθοῦσι ἰσχνοῖσιν, ὀλέθριον.

In iam pernicioſis parui tremores, & vomitus æruginoſus: qui in potibus ſubſtrepunt, & ſubmurmurant in ſiccis: & qui difficulter deglutiunt ſpiritu tuſsiente, pernicioſe habẽt in acutis perfrigeratis.

Ἐπὶ τοῖσιν ἤδη ὀλεθρίοισι τὰ σμικρὰ τρομώδεα, ἢ ἰώδης ἔμετος, οἱ ἐν τοῖσι ποτοῖσιν ἀποψοφέοντες, καὶ ἀποβορβορύζοντες ξηροῖσι, καὶ οἱ χαλεπῶς καταβροχθίζοντες πνεύματι βηχώδει, ὀλέθριοι ἐν ὀξέσι κατεψυγμένοισι.

Rubores in manibus ac pedibus, pernicioſi.

Τὰ ἐν χερσὶ καὶ ποσὶν ἐρυθήματα, ὀλέθρια.

Efflãtes & refracti, in ſõnis leuiter ſuſpiciẽtes, morbo regio abũdè colorati moriũtur: alba alui egeſtio in his præcedit.

Οἱ ἐκφυσῶντες καὶ ἀνακεκλασμένοι, ἐν τοῖσιν ὕπνοισιν ἀποβλέποντες, ἰκτερώδεες κατακορέες θνήσκουσι· λευκὸν διαχώρημα τούτοισι προέρχεται.

Αἱ ἐν πυρετοῖσιν ἐκστάσιες σιγῶσαι, μὴ ἀφώνῳ, ὀλέθριαι.

In febribus mẽtis emotiones taciturnæ, in eo qui voce priuatus nõ est, perniciosæ sunt.

Τὰ πελιδνὰ γινόμενα ἐν πυρετῷ, σύντομον θάνατον σημαίνει.

Liuores qui fiũt in febre, breui mortem affore significant.

Οἷσιν ἐν πυρετῷ, ἀλγήματος πλευροῦ γινομένου, κοιλίη ὑδατόχολα πολλὰ διαδιδούσῃ, ἐπίζει. ἀσιτίαι δὲ παρακολουθοῦσι καὶ ἱδρῶτες μετὰ προσώπου εὐχροίης, καὶ κοιλίης ὑγρῆς, καί τι καὶ καρδιαλγίης, οὗτοι μακροτέρως νοσήσαντες, περιπλευμονικῶς τελευτῶσι.

Quibus in febre, dolore lateris accedẽte, aluꝰ multa aquosa ac biliosa egerit, hi alleuantur. Quibus verò inediæ cõsequenter accedũt, ac sudores, cum bono faciei colore, & aluo liquida, ita vt adsit etiam aliquis cordis, seu potioris ventris dolor, hi vbi longius ægrotarunt, peripneumonicorum modo moriuntur.

Πυρέσσοντι ἐν ἀρχῇ, μέλαινα χολὴ ἄνω ἢ κάτω διελθοῦ-

Febriẽti si atra bilis ĩ prĩcipio, sursum aut deorsum prodie

rit, letale est.

σα, θανάσιμον.

Qui cum perfrigerationibus, non sine febre, supernè exudant, molestè ferentes, & phrenitici, in acuto morbo perniciose habent.

Οἱ μετὰ καταψυξίων οὐκ ἀπύρων ἐφιδροῦντες ἄνω, δύσφοροι, φρενιτικοί τε καὶ ὀλέθριοι ἐν ὀξεῖ.

Dolores modicè acuti ad clauiculam, ac sursum transeuntes, perniciosi.

Τὰ ἐπ' ὀλίγον ὀξέα ἀλγήματα ἐς κληῖδα, καὶ τὰ ἄνω πίπτοντα, ὀλέθρια.

In longis perniciosis morbis, sedis dolor letalis est.

Ἐν μακροῖσιν ὀλεθρίοισιν, ἕδρης ἄλγημα θανάσιμον.

Si debiliter iam affecti non videat, aut non audiant, aut labium, aut oculus aut nasus ipsis distorqueatur, letale est.

Τοῖσιν ἀσθενέως ἤδη διακειμένοισι, μὴ βλέπειν, ἢ μὴ ἀκούειν, ἢ διαστρέφεσθαι χεῖλος, ἢ ὀφθαλμὸν, ἢ ῥῖνα, θανάσιμον.

In febribus inguinis dolor, morbum diuturnum significat.

Ἐν πυρετοῖσι βουβῶνος ἄλγημα, νοῦσον χρονίην σημαίνει.

In febrib' iudicatio

Αἱ ἐν πυρετοῖ-

σιν ἀκρισίαι, χρόνους μὲν ἐμποιέουσιν, ἀτὰρ οὐχὶ ὀλέθριαι.

nes impeditę ac ſublatæ, tẽporis quidem diuturnitatem inducunt, non autẽ perniciosæ ſunt.

Οἱ ἐξ ἀλγημάτων ἰσχυρῶν πυρετοὶ, πολυχρόνιοι.

Febres ex doloribꝰ acribus, diuturnę.

Αἱ τρομώδεες ψηλαφώδεες παρακρούσιες, φρενιτικαί· καὶ οἱ κατὰ γαστροκνημίην πόνοι, ἐν τούτοισι γνώμης παράφοροι.

Mentis emotiones tremulę, palpatorię, phreniticę ſunt: & dolores circa ſuram, in his mentẽ emouent.

Ὅσοι ἐν ξυνεχεῖ ἄφωνοι κείμενοι μύοντες σκαρδαμύσσουσιν, ἢν αἵματος ῥυέντος ἐκ ῥινῶν ἐμέσαντες φθέγξωνται, καὶ παρ᾽ αὐτοῖσι γένωνται, σώζονται. μὴ γενομένων δὲ τούτων δύσπνοοι γενόμενοι, θνήσκουσι συντόμως.

Quicunq; in febre cõtinua, voce deſtituti iacentes, oculis cõniuentes nictãt, hi ſi poſtq̃ ſanguis ipſis ex naribus fluxit, & vbi vomuerũt, loquãtur, & ad ſeipſos redeant, ſeruãtur. ſi verò hæc non fiãt, difficulter ſpirãtes facti, breui moriuntur.

Οἱ λαβόντες ἐς τὴν αὔριον παροξυνθέντες, κακόν.

Qui meliꝰ habuerunt, ſi poſtridie exacerbẽtur, malũ eſt.

Si tertia die cohibiti, quarta exacerbentur, malum eſt. num & tales exacerbationes phreniticæ ſunt?

Τρίτην ἐπισχόντες τετάρτην παροξυνθέντες, κακόν. ἆρά γε καὶ φρενιτικοὶ οἱ τοιοῦτοι παροξυσμοί.

Quibuſcunq; deſinunt febres, non in diebus iudicatorijs, his recidiuæ fiunt.

Ὁκόσοισιν ἐκλείπουσιν οἱ πυρετοὶ μὴ κατὰ κρισίμους, ὑποστροπικόν.

Qui in principio tenues, cum capitis pulſu, & vrina tenui, ad iudicatioñe acerbantur, his nihil miri eſt ſi & mẽtis emotio inſupérque vigiliæ accedant.

Οἱ ἐν ἀρχῇ λεπτοὶ μετὰ κεφαλῆς σφυγμοῦ καὶ οὔρου λεπτοῦ πρὸς κρίσιν παροξυνόνται, θαῦμα δὲ οὐδὲν εἰ καὶ παρακοπὴ καὶ ἔτ᾽ ἀγρυπνίη γένοιτο.

In morbis acutis, motus, iactatio, ſomnus turbulentus, quibuſdã cõuulſionem ſignificat,

Ἐν ὀξέσι κίνησις ῥιπτασμὸς, ὕπνος ταραχώδης, σπασμὸν ἐνίοισι σημαίνει.

Turbulentæ cum ferocia excitationes mẽtem emouentes, malæ ſunt, itémque

Αἱ ταραχώδεες θρασύτητι ἐγέρσιες παράφοροι, πονηρὸν· καὶ

σπασμώ

σπασμώδεες, ἄλλως τε καὶ μεθ' ἱδρώτων. σπασμώδεες δὲ καὶ τραχήλου καὶ μεταφρένου δοκέουσι ψύξιες, ἀτὰρ καὶ ὅλου τοῦ σώματος. ἐν τουτέοισιν ὑμενώδεες οὐρήσιες.

Αἱ ἐν κώματι παρακρούσιες, σπασμώδεες.

Αἱ ὑπ' ὀλίγον θρασεῖαι παρακρούσιες, θηριώδεες· καὶ σπασμοὺς δὲ προσημαίνουσιν.

Εν τοῖσι μακροῖσι, κοιλίης ἄλογοι ἐπάρσιες, σπασμώδεες.

Τὰ αὐτίκα ταραχώδεα, ἄγρυπνα, ἐπιστάζοντα ἐκ ῥινῶν, ἑκταῖα κουφισθέντα νύκτα, πονήσαντα δὲ ἐς τὴν αὔριον, ἐφιδρώσαντα, καταντεχθέντα, παρακρούσαντα, αἱμοῤῥοεῖ λαύρως,

conuulſoriæ, tum aliàs, tũ cũ ſudoribus. Cõuulſoriæ etiã videntur colli ac dorſi pfrigerationes, imò etiãtotius corporis: in his mictiones ſunt pelliculoſæ.

Deliria cum ſopore, conuulſoria.

Mentis emotiones modicè feroces, ferinæ ſunt: ſed & cõuulſiones ſignificant.

In morbis longis, vẽtris pręter rationẽ tumores, cõuulſorij.

Affectiones ſtatim turbulẽtę, vigilias inducẽtes, ſanguinẽ de naribus ſtillãtes, ſexta die alleuãtes per noctẽ, verũ poſtridie rurſus affligẽtes, exudãtes, ĩ ſõnũ delatę, mentẽ emouẽtes, largè ſanguinẽ fundũt,

& morbos soluũt. aquosa vrina talia significat.

Qui cum relatis, ab atra bile mente moti, tremuli fiunt, malignè habent.

Deliriũ in spiritu & sudore, letale est. letale est & in spiritu ac singultu.

Insomnia in phrenitide euidentia, bona sunt.

In phrenitide egestiones alui albæ, & torpor, malum.

Rigor his pessim⁹ est.

In phreniticis in principijs affectiones mansuetæ, ac frequenter transmutationem habentes, malæ sunt.

Quibus ab atra bile mente motis, tre-

καὶ λύει τὰ πάθεα. τὸ ὑδατῶδες οὖρον τοιαῦτα σημαίνει.

Μετὰ τῶν εἰρημένων τῶν ἐξισταμένων μελαγχολικῶς, οἱ τρομώδεες γενόμενοι, κακοήθεες.

Παραφροσύνη ἐν πνεύματι καὶ ἱδρῶτι θανατώδης. θανατώδης δὲ καὶ ἐν πνεύματι καὶ λυγμῷ.

Ἐνύπνια τὰ ἐν φρενίτιδι ἐναργῆ, ἀγαθόν.

Ἐν φρενίτιδι διαχωρήσιες λευκαὶ, καὶ νωθρότης, κακόν.

Ῥῖγος τουτέοισι, κάκισον.

Ἐν τοῖσι φρενιτικοῖσιν ἐν ἀρχῇσι τὰ ἐπιεικῶς ἔχοντα, πυκνά τε μεταπίπτοντα, κακόν.

Τῶν ἐξισταμένων μελαγχολικῶς, οἷς τε ὁ-

μοι ἐπιγίνονται, κακόν.

Οἱ ἐξιστάμενοι μελαγχολικῶς, τρομώδεες γινόμενοι, καὶ πτυαλίζοντες, ἦρά γε φρενιτικοί;

Οἱ ἐκστάντες, ὀξέως ἐπιπυρέξαντες, φρενιτικοὶ γίνονται.

Οἱ φρενιτικοὶ βραχύ ποτε ψόφου καθαπτόμενοι, τρομώδεες ἢ σπασμώδεες.

Τὰ ἐν φρενιτικοῖσι νεανικῶς τρομώδεα, θανάσιμα.

Αἱ περὶ ἀναγκαῖα παραφροσύναι, κάκισται· αἱ ἐκ τούτων παροξυνόμεναι, ὀλέθριοι.

Αἱ παρακρούσιες, φωνῇ κλαγγώδεες, γλώσσῃ σπασμώδεες, καὶ αὐτοὶ τρομώδεες γινόμενοι, ἐξίστανται. σκληρυσμὸς ταύτῃσιν ὀλέ-

mores fiũt, malũ eſt.

Qui ab atra bile mente moti, tremuli fiunt, ac ſaliuam fundunt, num ſanè phrenitici ſunt?

Mente moti, acutè inſuper febricitantes, phrenitici fiunt.

Phrenitici ſtrepitum valde percipientes, tremuli, aut conuulſi.

In vehemẽter phreniticis. tremores letales ſunt.

Deliria circa neceſſaria, peſsima: quę ex his exacerbantur, letalia ſunt.

Mentis perculſiones, voces clangoroſæ, linguæ conuulſiones tremulæ, & voces tremulæ. facta mẽtem alienant duritiès in his pern.

ciosa eſt.

Prædebilitatorum deliria, peſsima.

Affectiones in phreniticis frequẽter trãſmutationẽ habẽtes, cõuulſoriæ, prauæ.

Phrenitici cũ perfrigeratione ſaliuã fundentes, vomitum nigrum indicant.

Qui varie ęgrotãt, & frequenter ſoporo ſi mẽte mouẽtur, his nigrũ vomitum expectandum eſſe dicito.

Quæ conuulſorio modo exacerbãtur, ſtupefactoria ſunt.

Tumores iuxta aurem in morbis longis parui ſunt: ſanguinis fluxiones ac vertigines inſuper apparentes, pernicioſæ.

θριον.

Αἱ προεξαδυνατησάντων παραφροσύναι, κάκισται.

Τὰ ἐν φρενιτικοῖσι πυκνὰ μεταπίπτοντα, σπασμώδεα, πονηρά.

Οἱ ἐν φρενιτικοῖσι μετὰ καταψύξιος πτυαλίζοντες, μέλανα ἔμετον δηλοῦσι.

Τοῖσι ποικίλως διανοσέουσι, καὶ παρακρούουσι πυκνὰ κωματώδεσι, προσδέχεσθαι λέγε μέλανα ἔμετον.

Τὰ παροξυνόμενα τρόπον σπασμώδεα, κάτοχα.

Τὰ παρ᾽ οὖς ἐπάρματα ἐν μακροῖσι μικρά· αἱμοῤῥώδεα καὶ σκοτώδεα ἐπιφαινόμενα, ὀλέθρια.

Οἱ ἰλυγγώδεες πυρετοὶ καὶ ἄνευ ἰλέων, καὶ μετὰ ἰλέων, ὀλέθριοι.

Febres vertiginoſæ, & cum voluulis, & ſine voluulis, perniciosæ.

Τοῖσι πνευματίοισιν ἐοῦσι, πυρετὸς ὕστερον ὀξύς.

Anheloſis febris poſtea acuta.

Μετὰ ὑποχονδρίου ξυντόνου καταψυχθεῖσι, παρ' οὖς μέγα ἔπαρμα.

Cũ præcordio intẽto perfrigeratis, magnus ĩ aure tumor.

Οἷσιν αἱ ἐν πυρετῷ ὀδύναι γινόμεναι περὶ ὀσφὺν καὶ τὰ κάτω χωρία, φρενῶν ἅπτωνται, ἐκλείπουσαι τὰ κάτω, ὀλέθρια, ἄλλως τε κἢν ἄλλό τι σημεῖον προσγίνηται πονηρόν. ἢν δὲ τἄλλα σημεῖα μὴ πονηρὰ γίνηται, ἔμπυον γενήσεσθαι ἐλπίς.

Quibus in febre dolores qui circa lũbos & infernas partes fiunt, ſeptum trãſuerſum contingunt, infernas partes relinquentes, pernicioſi ſunt, tum aliàs, tum ſi aliud quoddam ſignum prauum accedat. Si verò alia ſigna non fuerint praua, ſuppuratum fore timor eſt.

Παιδίοισιν ὀξὺς πυρετὸς καὶ κοιλίης ὑπόστασις μετὰ ἀγρυπνίης, καὶ τὸ ἐκλακτίζειν, καὶ

Pueris febris acuta, & aluus ſubpreſſa cum vigilijs, & calcitrare, &

colorem mutare, & ruborem habere, cõuulſorium eſt.

τὸ χρῶμα μεταβάλλειν, καὶ ἴσχειν ἔρευθος, σπασμῶδες.

Affectiones ſtatim turbulentæ, vigilias inducentes, & nigra compacta egerentes partim ſanguinem fundunt.

Τὰ αὐθὺ ταραχώδεα ἄγρυπνα, μέλανα δὲ τὰ σύνθετα, αἱμοῤῥοεῖ ἔνια.

Affectiones cũ vigilijs & anxietudine repentina, ſanguinẽ fundunt, tum aliàs, tum ſi quid etiã antea profluxerit. Nũ & qui modicè perfrigerati poſtea horruerunt?

Τὰ ἀγρυπνήσαντα ἐξαίφνης ἀλυσμῷ αἱμοῤῥοίει, ἄλλως τι, καὶ ἤν τι προεῤῥυήκῃ. ἦρά γε καὶ μεταφρίξαντες οἱ ἐπ' ὀλίγον περιψύχοντες;

At qui circa exacerbationes tuſsiunt, & parum exudant, malignè habent.

Περὶ δὲ τοὺς παροξυσμοὺς βήσσοντες, καὶ ἐφιδροῦντες μικρὸν, κακοήθεες.

Ad latus doloreac ſuffocatione accedẽte, hi ſuppurantur.

Ες πλευρὸν ὀδύνης καὶ πνιγμοῦ προσγενομένου, οὗτοι ἐμπυοῦνται.

Quibus in febrib⁹ cõtinuis puſtulæ per

Οἷσιν ἐν συνεχέσι φλυξάκια κατὰ

παῖ τὸ σῶμα ἐκφύει, θανάσιμον, μὴ γινομένου πυώδους ἀποστήματος· μάλιστα δὲ ἐνθεῖσαι τοῦτοισι γίνεσθαι παρ' οὖς.

Εν ὀξεῖ τὰ μὲν ἔξωθεν περιψύχεσθαι, τὰ δὲ ἔσωθεν καίεσθαι, καὶ διψῆν, κακόν.

Οἱ συνεχέες διὰ τρίτης ἐπιτείνοντες, ἐπικίνδυνοι.

Οἷσιν ἂν ποτε πυρετὸς διαλίπῃ, ἀκίνδυνον.

Εν μακροῖς πυρετοῖσιν, ἢ φύματα, ἢ ἐς ἄρθρα πόνοι ἐγγίνονται, καὶ ἢν γένωνται, οὐκ ἄχρηστοι.

Κεφαλαλγίη ἐν ὀξεῖ, ὑποχόνδριον ἀνεσπασμένον, μὴ ῥυέντος αἵματος ἐκ ῥινέων, ἐς φρενιτικὸν περιΐσταται.

totum corpus erumpunt, letale, si nõ purulẽtus abscessus fiat: maximè autẽ circa aurẽ his fieri solet.

In morbo acuto externas partes perfrigerari, internas autem ardere, & sitire, malum est.

Febres cõtinuę per tertiam diem augescentes, periculosæ.

Quibus febris aliquando intermittit, periculo vacant.

In febribus lõgis, aut tubercula, aut dolores in articulis fiunt: & si facti fuerĩt non sunt inutiles.

Capitis dolor in morbo acuto, pręcordium reuulsum, non profluẽte ex naribus sanguine, ad phrenitidem deuenit.

Febres lipyricæ, bilis effusione nõ accedente, non soluũtur.

Τὰ λαπυρικὰ μὴ χολέρας ἐπιγινομένης, οὐ λύεται.

Morbꝰ regius ante septimũ diem accedens, malum: septimo verò ac nono, & vndecimo ac decimoquarto, iudicatorius est, si non præcordia ĩduret: sin minus, ambigua res est.

Ἴκτερος πρὸ μὲν τῆς ἑβδόμης ἡμέρης ἐπιγινόμενος, κακόν· ἑβδόμῃ δὲ καὶ ἐνάτῃ, καὶ ἑνδεκάτῃ καὶ τεσσαρεσκαιδεκάτῃ, κρίσιμον, μὴ σκληρύνων ὑποχόνδρια· ἢν δὲ μή, ἐνδοιαστόν.

Frequentes per eadem recidiuæ, circa iudicationẽ sanguinolentæ, nigrorum vomitum faciunt. fiunt autẽ & tremulę.

Αἱ πυκναὶ διὰ τῶν αὐτῶν ὑποστροφαί, περὶ κρίσιν αἱματώδεες, μελαινῶν ἔμετον ποιέουσι. γίνονται δὲ καὶ τρομώδεες.

Dolores qui in tertianis febribꝰ exacerbantur, tertianarum generis morbum faciunt, & grumosum sanguinem egerunt.

Τὰ ἐν τριταίοισι πυρετοῖσιν ἀλγήματα παροξυνόμενα τριταιοφυῆ ποιέεται, καὶ θρομβώδεα αἵματα διαχωρέει.

In febribus secundum venã quę est in collo, pulsus ac do-

Ἐν πυρετοῖσι κατὰ φλέβα τὴν ἐν τῷ τραχήλῳ σφυγμὸς καὶ

πόνος, ἐς δυσεντερίην ἀποτελευτᾷ.

lor, in dyſenteriam deſinit.

Τὸ μεταβάλλον πολλάκις χρῶμα κατὰ θερμασίην, χρήσιμον.

Color qui ſæpe in calorę trãſmutatur, vtilis eſt.

Τοῖσι χολώδεσι πνεῦμα μέγα, καὶ πυρετὸς ὀξὺς μετ' ὑποχονδρίου ἐντάσιος, παρ' οὖς ἀφίστησιν.

In bilioſis ſpiritus magnus, & febris acuta cum præcordij intenſione, iuxta aurem abſceſſum facit.

Οἱ ἐκ μακρῶν ἀναλαμβάνοντες εὔσιτοι, μηδὲν ἐπιδιδόντες, ἐπιστρέφουσι κακοήθως.

Qui ex morbis lõgis ſe refocillátes bene cibum accipiunt, & nihil proficiunt, hi malignè in recidiuam incidunt.

Οἷσιν ἐν πυρετοῖσι φλέβες αἱ ἐν κροτάφοισι σφυγματώδεες, καὶ πρόσωπον ἐῤῥωμένον, καὶ ὑποχόνδριον μὴ λαπαρὸν, χρόνιον, καὶ οὐ παύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλῆς, ἢ λυγγὸς, ἢ σπασμοῦ,

Quibus in febrib⁹ venæ in tẽporib⁹ pulſant, & facies ſana eſt, & pręcordiũ non molle, diuturnũ morbum ſignificat & nõ deſinẽtem citra multi ſanguinis ex naribus fluxũ, aut ſingultũ, aut conuulſionẽ,

aut coxendicum dolorem.

ἢ ὀδύνης ἰσχίων.

In febre ardente si aluus eruperit, mortale est.

Ἐν καύσῳ κοιλίη καταῤῥαγεῖσα, θανάσιμον.

Ex alui dolore laborioso, febris ardens, perniciosa.

Ἐκ κοιλίης ἀλγήματος ἐπιπόνου, πυρετὸς καυσώδης, ὀλέθριον.

In febribus ardentibus si aurium sonitus accedant cum visus hebetudine, & grauitate secundum nares, melancholico modo ab atra bile mente mouētur, sanguine ipsis nō erumpente.

Ἐν τοῖσι καυσώδεσιν ἤχων προσγινομένων μετὰ ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρους, ἐξίστανται μελαγχολικῶς, μὴ αἱμοῤῥαγήσαντες.

Tremores in febribus ardentibus mentis perculsio soluit.

Τοὺς ἐν καύσοισι τρόμους, παρακοπὴ λύει.

In febre ardēte fluxio sanguinis ex naribus quarta die, mala est: si non aliud qd boni coinciderit. verū quinta min⁹ pe-

Ἐν καύσῳ ῥύσις ἐκ μυκτήρων τεταρταίῳ, κακόν· ἢν μή τι ἄλλο ἀγαθὸν ξυμπέσῃ. πεμπταίῳ δὲ ἧσσον κιν-

δινώδεις.

Οἱ ἐν τοῖσι καυσώδεσιν ἀποπεριψύχουσι διαχωρήμασι ὑδατοχόλοισι συχνοῖσιν, ὀφθαλμοῖσι κακόν· ἄλλως τε, κἢν κάτοχοι γίνωνται.

Καῦσος ῥίγεος ἐπιγινομένου λύεται.

Καῦσοι ἀποστροφιάζειν εἰώθασι, καὶ ἢν μέρας τέσσαρας ἐπισημήναντες, ἔπειτα ἐφιδροῦσιν· εἰ δὲ μὴ, τῇ ἑβδόμῃ καὶ δεκάτῃ.

Τοὺς καυσώδεας διακρίνουσιν αἱ τεσσαρεσκαίδεκα ἡμέραι, κουφίζουσαι ἢ ἀναιροῦσαι.

Ἐκ καύσου, μὴ γινομένου πυώδεος παρ' οὖς ἀποστήματος, οὐ πάνυ σώζονται.

Οἱ ληθαργικοὶ, τρομώδεις ἀπὸ χειρῶν,

riculoſa eſt.

Qui ex febribus ardentibus aliquantulum perfrigerãtibus cũ crebris egeſtionibus alui aquoſis ac bilioſis laborãt, oculis malũ eſt: tũ aliàs, tum ſi ſtupidi fiant.

Febris ardẽs rigore accedente ſoluitur.

Febres ardentes recidiuare ſolẽt, & vbi per dies quatuor ſignificationem de ſe præbuerunt, poſtea exudant: ſin minus, ſeptima die.

Febres ardẽtes xiiij dies dijudicãt, aut alleuãtes, aut pimẽtes.

Ex febre ardẽtes, abſceſſu purulẽto, qui circa aurem non fit, nõ valde ſeruantur.

Letargici, tremuli ex manibus,

somnolenti, discolores, tumidi, pulsibus tardi sunt, & partes sub oculis eleuatas habẽt, & sudores ĩsuper accedũt, & aluis biliosis, & intẽperatis subtument.

ὑπνώδεες, δύσχρωτες, οἰδηματώδεες, σφυγμοῖσι νωθροῖσι, καὶ μετάρσια τὰ ὑποφθάλμια, καὶ ἱδρῶτες ἐπιγίνονται, καὶ κοιλίας ὑποδιδοῦσι χολώδεας, καὶ ἀκρατίας.

Sin obaridas habuerint, vrinę & egestiones alui latenter ipsis progrediuntur, vrina velut iumẽtorum est, potũ non expetunt, neque aliud quicq̃. Postquam vero resipuerint, collũ dolorosum se habere dicunt, & sonitus per aures transire.

Ἢν καταξήρεες ἴσχωσιν, οὖρα καὶ διαχωρήματα προϊόντα λαθραίως, τὸ οὖρον ὑποζυγίου, πιεῖν τε οὐκ αἰτέουσιν, οὐδὲ ἄλλο οὐδέν. ἔμφρονες δὲ γενόμενοι, τράχηλον ἐπώδυνον φασὶν ἔχειν, καὶ διὰ τῶν οὐάτων ἤχους διαΐσσειν.

Qui verò ex lethargicis seruantur, plerunq; pectore suppurati fiunt.

Ὁκόσοι δὲ σώζονται τῶν ληθαργικῶν, ἔμπυοι ὡς ἐπὶ τὸ πολὺ γίνονται.

Quibuscunq; in febrib⁹ tremores citra iudicationẽ cessant, his tẽporis progressu in articulos abscessus

Ὁκόσοισιν ἐν πυρετοῖσιν ἀκρίτως τὰ τρομώδεα παύεται, τουτέοισι χρόνῳ ἐς ἄρθρα

ἀπόστασις ὀδυνώδης ἐκπύουσα, καὶ κύστις ἐπώδυνος.

Τῶν πυρεταινόντων οἷσι μὲν ἐρυθήματα τῶν προσώπων, καὶ πόνος κεφαλῆς ἰσχυρὸς, καὶ σφυγμὸς φλεβῶν, αἵματος ῥύσις τὰ πολλὰ γίνεται.

Οἷσι δὲ ἆσαι, καὶ καρδιωγμοὶ, καὶ πτυαλισμοὶ, ἔμετος· οἷσι δὲ ἐρυγμοὶ, φῦσαι, ψόφοι κοιλίης καὶ ἐπάρσιες, καὶ ἐκτάραξις κοιλίης.

Τοῖσι χρονίζουσιν ἀσφαλέως ἐν πυρετῷ ξυνεχεῖ, χωρὶς πόνου, ἢ φλεγμονῆς, ἢ ἄλλης προφάσιος, ἀπόστασιν προσδέχεσθαι πόνου καὶ οἰδήματος, καὶ μᾶλλον ἐς τὰ κάτω χωρία. προσδέχεσθαι δὲ δεῖ τὰς ἀποστάσιας, τοῖσιν ὑπὲρ τριήκοντα ἔτεα μᾶλλον.

doloroſus ſuppuratꝰ fit,& veſica dolet.

Febriẽtibus quibus rubores ſunt ĩ facie, & dolor capitis fortis,& venarũ pulſus, his ſanguinis fluxio plerũque contingit.

Quibꝰ autẽ cibi faſtidia ſunt,& oris vẽtriculi morſus , & multũ ſaliuæ,his vomitus fit:quibus verò ructus adſunt, & flatus, ſtrepitus ac eleuationes ventris,his fit alui exturbatio.

Qui diutius ſecurè ex febre continua laborant,citra dolorẽ, aut inflãmationem, aut aliã cauſam, his abſceſſus expectandus eſt cũ dolore ac tumore,& magis in infernis partibus.expectare autẽ oportet abſceſſꝰ,his magis ꝙ xxx.annũ egreſsi ſunt,

& tunc expectare abſceſſus oportet, vbi viginti dies febris tranſmiſerit. ſenioribus autē minus fiūt, & vbi multo tempore febres durant. At intermittentes & erroneo modo inuadentes, autumno maximè in quartanā leniter trāſeunt, & hoc magis his qui triginta annos exceſſerint. Abſceſſus autem hyeme magis fiunt, & tardiùs deſinunt, & minùs recurrunt.

Quibus verò ſæpe recidiua cōtigit, his ſi ſemeſtre tempus tranſmiſerint, tabes coxendicum leniter accedit.

Quęcunque ſigna

ἀποσκέπτεσθαι δὲ τουτέοισι τὰς ἀποστάσιας, ἢν τὰς εἴκοσιν ἡμέρας πυρετὸς ὑπερβάλλῃ. τοῖσι δὲ πρεσβυτέροισι ἧσσον γίνονται, καὶ πολλῷ χρόνῳ γινομένων τῶν πυρετῶν. οἱ δὲ διαλείποντες καὶ λαμβάνοντες πεπλανημένως, φθινοπώρου μάλιστα ἐς τεταρταῖον ἐπιεικέως μεθίσανται, καὶ μᾶλλον τοῖσιν ὑπὲρ τὰ τριήκοντα ἔτεα γεγονόσιν. αἱ δὲ ἀποστάσιες τοῦ χειμῶνος γίνονταί τε μᾶλλον, καὶ παύονται βραδύτερον, καὶ ἧσσον παλινδρομέουσι.

Τοῖσι δὲ πολλάκις ὑποστροπιασθεῖσιν, ἢν ἑξάμηνον ὑπερβάλλωσιν, ἰσχιαδικὴ φθίσις ἐπιεικέως γίνεται.

Ὁκόσα πυρετῶν αὐ-

πιδέδοται, καὶ μὴ ἀποστηματώδεα σημεῖα, κακοήθεα.

febri ſe opponunt,& non abſceſſus ſignificationem habét, maligna ſunt.

Τῶν πυρετῶν οἱ μήτε ἐν ἡμέρῃσι κρισίμῃσι, μήτε μετὰ σημεῖον λυτήριον ἀφιέντες, ὑποτροπιάζουσι.

Febres quæ neque in diebus iudicatorijs, neq; poſt ſolutorium ſignum deceſſerunt, recidiuant.

Τὰ ὀξέα τῶν νοσημάτων, ἐν ἡμέρῃσι κρίνεται τεσσαρεσκαίδεκα.

Acuti morbi in diebus quatuordecim indicantur.

Τριταῖος ἀκριβὴς, ἐν πέντε, ἢ ἐν ἑπτὰ περιόδοισιν, ἢ τὸ μακρότατον, ἐν ἐννέα κρίνεται.

Tertiana exquiſita, in quinque, aut ſeptem circuitib⁹, aut ad ſummum in nouem iudicatur.

Οἷσιν ἀρχομένοισι πυρέσσειν αἵματος στάξιες ἐκ ῥινῶν πταρμοῦ γινομένου, λευκὴν ὑπόστασιν τὸ οὖρον ἴσχει ἐν τῇ τετάρτῃ, λύσιν ἐν τῇ ἑβδόμῃ σημαίνει.

Quibus febrire incipientibus, ſanguis de naribus diſtillat, ac ſternutatio accedit, & vrina ſubſidentiam albam in quarta die habet, his in ſeptima die ſolutionem ſignificat.

Τὰ δὲ ὀξέα κρίνεται

Morbi acuti iudi-

cantur ſanguine de naribus fluente, in die iudicatorio: & ſudore multo, & vrina purulenta ac vitrea prodeunte, & bonã ſubſidentiam habente, & aceruatim exeunte: abſceſſu item memorabili oriẽte, & aluo mucoſa & cruẽta derepẽte egerente, & vomitibus non prauis ſecundũ iudicationem.

αἵματος ἐκ ῥινῶν ῥυέντος, ἐν κρισίμῳ· καὶ ἱδρῶτος πολλοῦ γενομένου, καὶ οὔρου πυώδεος καὶ ὑαλώδεος γενομένου, ὑπόστασιν χρηστὴν ἔχοντος, καὶ ἀθρόου γενομένου· καὶ ἀποστήματος ἀξιολόγου, καὶ κοιλίης μυξώδεος καὶ αἱματώδεος καὶ ἐξαπίνης καταῤῥαγείσης, καὶ ἐμέτων οὐ μοχθηρῶν κατὰ κρίσιν.

Somni profundi, non turbulenti, firmam iudicationem ſignificant: turbulenti verò cum dolore corporis, inconſtantes ſunt.

Ὕπνοι βαθέες, μὴ ταραχώδεες, βεβαίαν κρίσιν σημαίνουσιν· οἱ δὲ ταραχώδεες μετ᾽ ἀλγήματος σώματος, ἀβέβαιοι.

Septima die, aut nona, aut decimaquarta, fluxiones ſanguinis à naribus, plerunque febres ſol-

Ἑβδομαίοισιν, ἢ ἐναταίοισιν, ἢ τεσσαρεσκαιδεκαταίοισι, ῥύσιες ἐκ ῥινέων λύουσιν ὡς ἐπὶ τὸ πολὺ τοὺς πυρετούς.

ετοῦς· ὁμοίως δὲ καὶ κοιλίης ῥύσις χολώδης, καὶ δυσεντεριώδης, καὶ πόνος γουνάτων, ἢ ἰσχίων· καὶ οὖρον πεπαιθὲν πρὸς τὴν κρίσιν· ἐν γυναικὶ δὲ καὶ ἐπιμηνίων ῥύσις.

Οἱ ἐν πυρετοῖσιν αἱμοῤῥαγήσαντες ἱκανῶς ὁκοθενοῦν, ἐν τῇσιν ἀναλήψεσι κοιλίας καθυγραίνονται.

Οἱ ἐν πυρετοῖσιν ἐφιδρώοντες, κεφαλαλγέες, κοιλίην ἀπολελαμμένοι, σπασμώδεες.

Αἱ ἐπ' ὀλίγον θρασέως παρακρούσιες, καὶ θηριώδη καὶ σπασμὸν σημαίνουσι.

Σπασμὸς ἐν πυρετῷ γινόμενος, καὶ παυόμενος αὐθήμερον, ἀ-

uunt: similiter & alui fluxio biliosa, & qualis in dysenteria fieri solet, & genuũ ac coxendicum dolor: & concocta vrina ad iudicationem: in muliere verò etiã menstruę purgationis fluxus.

Quibus in febribus sanguis abundè vndecũq; profluxit, his in refectionibus à morbo alui humectantur.

Qui in febribus exudãt, caput dolentes, aluo suppressa, conuulsi fiunt.

Mentis emotiones modicè feroces, & ferinum, & conuulsionem significant.

Cõuulsio in febre nascẽs, & eadem die

desinens, bona est.

Cõuulsio in febre orta, sedat febrẽ eadem die, aut postera, aut tertia: si verò horam in qua incepit, transgrediatur, & nõ desinat, malum est.

Febres intermittẽtes, verũ inæqualiter calescentes, aluo inflata, pauca egerente, in his post iudicationem lumborũ dolore sequuto, alui erumpunt: at ambu-rentes ad manũ torpidæ, siticulosæ, anxiosæ, in his aluo suppressa grauati exoluuntur: quandoque verò & rubicũdæ in pedibus ambustiones, eadem significant.

Hybernæ febres quartanæ, leniter in

γαθόν.

Σπασμὸς ἐν πυρετῷ, γενόμενος, παύει τὸν πυρετὸν αὐθήμερον, ἢ τῇ ὑστεραίῃ, ἢ τῇ τρίτῃ· ὑπερβάλλων δὲ τὴν ὥρην ἐν ᾗ ἤρξατο, καὶ μὴ παυόμενος, κακόν.

Οἱ διαλείποντες, ἀνωμάλως δὲ χλιαινόμενοι, κοιλίης ἐμφυσωμένης, μικρὰ διαδιδούσης, ὀσφυαλγήσασι μετὰ κρίσιν, τουτέοισι κοιλίαι καταῤῥήγνυνται· οἱ δὲ περικαέες πρὸς χεῖρα, νωθροὶ, διψώδεες, ἀσώδεες, κοιλίης ἀπειλημμένης βαρυνόμενοι ἐκλύονται· ἔστι δ' ὅτε καὶ τὰ ἐξέρυθρα ἐν ποσὶ κατακαύματα, ταὐτὰ σημαίνει.

Οἱ χειμερινοὶ τεταρταῖοι πυρετοὶ, ἐπιεικέως μεθιστάνται

ἐς τὰς ὀξέας νούσους.

Κεφαλῆς πόνος συνώτονος μετ' ὀξέος πυρετοῦ, καὶ ἄλλου σημείου τῶν δυσκόλων, θανάσιμον· ἄνευ δὲ σημείου φαύλου, ὑπερβάλλων τὰς εἴκοσιν ἡμέρας, αἵματος ῥύσιν, ἢ πύον ἐκ ῥινός, ἢ ἀποστάσιας ἐς τὰ κάτω σημαίνει, μάλιστα μὲν νεωτέροισι τῶν τριήκοντα πέντε, τὰς ῥύσιας· τοῖσι δὲ πρεσβυτέροισι, τὰς ἀποστάσιας προσδέχεσθαι. περὶ μέτωπον δὲ καὶ κροτάφους ὄντος τοῦ πόνου, καὶ συντόνου ῥύσιας.

Οἷσι κεφαλαλγίαι καὶ ἦχοι ἐμπυρέτοισι, καὶ σκοτοδίνη. καὶ φωνῆς βραδυτὴς, καὶ νάρκη χειρῶν, ἢ ἀποπλήκτους, ἢ ἐπιληπτικοὺς προσδέχου τούτους ἔσεσθαι, ἢ καὶ ἐπιλήσμονας.

acutos morbos trãſeunt.

Capitis dolor ptinax cũ febre acuta, & alio ſigno maligno, letale eſt: cæterùm ſine ſigno malo, trãſgrediens xx. diẽ ſanguinis aut puris fluxum è narib⁹, aut abſceſſus ad infernas partes ſignificat: fluxiones quidẽ iunioribus xxxv. annis: ſenioribus verò, abſceſſus. ſi verò circa frontẽ ac tempora fuerit dolor ille pertinax, fluxiones.

Quib⁹ capitis ſunt dolores, & ſonit⁹ auriũ, in febre, & vertigo, & vocis tarditas, & manuũ torpor, eos aut ſideratos, aut comitiales, aut obliuioſos fore expecta.

Qui caput dolent, ſtupore correpti delirãtes, aluo ſuppreſſa, oculo ferociente, floruleti, hi in poſteriorem partem conuelluntur.

Οἱ κεφαλαλγέες κατόχως παρακρούοντες κοιλίης ἀπολειφθείσης, ὄμμα θρασυνθέντες, αἰθηροί, ὀπισθοτονώδεες γίνονται.

Capitis ſuccuſsiones, oculi rubicũdi, mẽte manifeſtè emouẽtes, pniciosæ ſunt. non commoriuntur hæc, ſed circa aurem tumorem faciunt.

Τὰ ἀποσείοντα κεφαλῆς, ὄμματα ἐξέρυθρα παρακρούοντα σαφῶς, ὀλέθρια· οὐ ξυναποθνήσκει τοῦτο, ἀλλὰ παρ' οὖς οἴδημα ποιέει.

Capitis dolor cum ſedis & pudẽdorum dolore, & torporem, & impotentiam inducit, & vocem reſoluit, hæc horrenda nõ ſunt: verùm ſomnolenti ac ſinglutiẽtes fiunt nono mẽſe: ex quibus ſoluta voce in idẽ reſtituũtur.

Κεφαλαλγίαι μεθ' ἕδρης, καὶ αἰδοίων ἀλγήματος, καὶ νωθρότητα καὶ ἀκρασίην παρέχει, καὶ φωνὴν παραλύει, ταῦτα οὐ χαλεπά· ὑπνώδεες δὲ καὶ λυγγώδεες γίνονται ἐνάτῳ μηνὶ ἐκ τούτων, φωνῆς λυθείσης ἐς τὸ αὐτὸ καθίσανται.

Qui in capitis dolore aſcaridas habẽt,

Ἀσκαριδώδεες δὲ γενόμενοι ἐν κεφαλαλγίῃ,

κώφωσις καὶ κῶμα παρακολουθοῦντα, τὰ παρ' οὖς ἐπαίρει.

his surditas & sopor consequēs, abscessus circa aurem excitat.

Οἱ κεφαλαλγέες, κατόχως ὀδυνώδεες, ὄμμα ἐξέρυθρον, αἱμοῤῥοεῖ.

Qui caput dolent, stupore detenti dolorosi, oculum rubicundum habētes, sanguinem effundunt.

Τὰ σείοντα κεφαλὴν, τὰ ἠχώδεα αἱμοῤῥοεῖ· ἢ γυναικὶ τὰ γυναικεῖα καταβιβάζει, ἄλλως τε καὶ ἢν κατὰ ῥάχιν καῦμα παρακολουθέῃ· ἴσως δὲ καὶ δυσεντερικά.

Capitis concussiones, & aurium sonitus sanguinem effundūt: aut mulieri mēses deducunt, tum aliàs, tum si iuxta spinam ardor cōsequatur: fortassis autē dysentericis fluxiones.

Οἱ καρηβαρικοὶ, κατὰ βρέγμα ὀδυνώδεες, ἄγρυπνοι, αἱμοῤῥαγέουσιν, ἄλλως τε καὶ ἢν πρὸς τράχηλον συντείνῃ.

Capite grauati, iuxta sinciput dolentes, vigilijs infestati, sanguinē effundunt, tum aliàs, tū si quid ad collum se extendat.

Τὰ ἐν κεφαλαλγίῃσιν ἰώδεα ἐμέσματα μετὰ κωφώσιος, ἀγρυ-

Vomitus in capitis doloribus æruginosi cum surditate, vi-

gilantibus, cito insaniam excitant.

πνοισι ταχὺ ἐκμαίνει.

Quibus capitis ac colli dolor est, sed & totius corporis tremula quædam impotentia, sanguinis eruptio soluit: quin & tempore hæc soluuntur. verùm vesicæ in hoc supprimuntur.

Οἷσι κεφαλῆς καὶ τραχήλου πόνος, καὶ ὅλου δέ τις ἀκρατίη τρομώδης, αἱμοῤῥαγίη λύει· ἀτὰρ καὶ οὕτω χρόνῳ λύονται. αἱ δὲ κύστιες ἐν τουτέῳ λαμβάνονται.

In acutis capitis doloribus, & in torpidis cum grauitate, conuulsiones fieri solent.

Ἐν τῇσιν ὀξείῃσι κεφαλαλγίῃσι, καὶ τῇσι ναρκώδεσι μετὰ βάρεος, ἐθέλει σπασμώδεα γίνεσθαι.

Capitis dolorē soluit pus per nares, aut sputa crassa & non olentia: soluit item vlcerũ eruptio: quandoque & somnus, & alui fluxus.

Κεφαλαλγίην λύει πῦον διὰ ῥινῶν, ἢ πτύελα παχέα καὶ ἄοσμα· λύει δὲ καὶ ἑλκέων ἔκθυσις· ποτὲ δὲ καὶ ὕπνος, καὶ κοιλίης ῥύσις.

Capitis dolor moderatus cum siti cibũ capiēte, aut cum sudore non soluente

Κεφαλῆς ἄλγημα μέτριον μετὰ δίψης νηδιούσης, ἢ μετὰ ἱδρῶτος μὴ λύοντος

τὸν πυρετὸν, ἀποστάσιας ἐν οὔλοισιν, ἢ παρὲ οὖς σημαίνει, μὴ κοιλίης ἐκταραχθείσης.

Κεφαλαλγίη καρώδης μετὰ βάρεος, ποιεῖ τι σπασμῶδες.

Οἱ κεφαλαλγικοὶ, διψώδεες, ὑπάγρυπνοι, ἀσαφέες, ἀδύνατοι, τῆς κοιλίης ὑγρῆς κοπιώδεες, ἦρά γε ἐξανίσανται.

Κεφαλαλγέες, ὑπόκωφοι, χεῖρας τρομώδεες, τράχηλον ὀδυνώδεες, οὐρέοντες μέλανα δεδασυσμένα, ἐμέοντες μέλανα, ὀλέθριοι.

Οἱ κεφαλαλγέες, ἐφιδροῦντες, κοιλίην ἐπειλημμένοι, σπασμώδεες.

febrem, abſceſſus in gĩgiuis, aut circa aurem ſignificat, aluo non exturbata.

Capitis dolor ſoporoſus cum grauitate, conuulſorium quid facit.

Caput dolentes, ſiticuloſi, aliquatenus vigilãtes, obſcuri cognitu, impotẽtes, ex aluo liquida delaſſati, num mente mouentur?

Caput dolẽtes, ſurdaſtri, manibus tremuli, collum dolentes, meientes nigra condenſata, vomentes nigra, perniciosè habent.

Caput dolentes, exudantes, aluũ ſupreſſam habentes, conuulſioni obnoxij ſunt.

Sopor vbique malus est.

Τὸ καρῶδες πανταχοῦ κακόν.

Qui soporosi in principijs fiunt, cum capitis, lumborũ, colli, præcordij dolore, vigilãtes, num phrenitici sunt? nasus in his destillans, perniciosus, tum aliàs, tũ quarto ab initio die. malum est etiam alui proluuium valde rubicundum.

Οἱ κωματώδεες ἐν ἀρχῇσι γινόμενοι, μετὰ κεφαλῆς, ὀσφύος, τραχήλου, ὑποχονδρίου ὀδύνης, ἀγρυπνέοντες, ἦρά γε φρενιτικοί; μυκτὴρ ἐν τουτέοισιν ἀποστάζων, ὀλέθριον, ἄλλως τε καὶ τεταρταίοισι ἐοῦσι ἢ ἀρχομένοισι. κακὸν δὲ καὶ κοιλίης περίκλυσις ἐξέρυθρος.

Soporosi ab initio exudantes, vrinis cõcoctis ardentes, verùm citra iudicationem perfrigescentes, & breui rursus ardentes, torpidi, soporosi, conuulsi, perniciosè habent.

Οἱ κωματώδεες ἐξ ἀρχῆς ἐφιδρώσαντες οὔροισι πέποσι καυσικοί, ἀκρίτως δὲ περιψύχοντες, διὰ ταχέων πυρικαέες, νωθροί, κωματώδεες, σπασμώδεες, ὀλέθριοι.

Somni soporosi, & perfrigerationes, perniciosę sunt.

Οἱ κωματώδεες ὕπνοι, καὶ αἱ καταψύξιες, ὀλέθριον.

Κωματώδεας, κοπιώδεας, κεκωφωμένους, κοιλίης κατεῤῥωγυίης, ἐρυθρὰ διελθόντα περὶ κρίσιν, ὠφελέει.

Soporoſis, delaſſatis, ſurdis factis, aluo erūpēte, ſi rubicūda egeſta fuerint circa iudicationē, proſunt.

Κωματώδεες, ἀσώδεες, ὑποχόνδριον ὀδυνώδεες, σμικρὰ ἐμετώδεες, τὰ παρ᾽ οὖς ἴσχουσι· πρόσθεν δὲ περὶ τὸ πρόσωπον ἐπάρματα μετὰ κώματος.

Soporoſi, anxioſi, præcordium dolentes, parum vomētes, abſceſſus iuxta aurē habent: antea verò circa faciem tumores cum ſopore.

Τὰ ἐξαίφνης παρακρούσαντα ἀλυσμῷ, αἱμοῤῥαγικά.

Morbi derepentè mentem percellētes cū anxietudine, ſanguinem profundūt.

Τὰ κωματώδεα, ἀσώδεα, ὀδυνώδεα ὑποχόνδρια, θαμινὰ σμικρὰ πτύοντα, τὰ παρ᾽ οὖς ἐπάρματα. κωματώδεες, ἦρά τι ἔχει σπασμῶδες.

Soporoſa, anxioſa, doloroſa prӕcordia, frequēter parū ſpuētia, tumores circa aurem habēt. ſoporoſi, num aliquid cōuulſorij habent?

Κωματώδεα, μεμωρωμένα, κάτοχα, ποι-

Affectiones ſoporoſæ, fatuitatem inducentes, ſtuporis detentionem inferentes, variantia prӕcor-

dia & ventrem tumidum habentes, cibũ fastidientes, aluo suppressa, exudantes, nũ his turbidus spiritus & genituræ simile quid pertrãsiens singultum significat? num & aluus biliosa insuper egerit? Splendidũ in his mictum prodest: vẽtres quoq; his insuper turbantur.

Cerebro corrupto, alij in tribus diebus, alij in septẽ moriuntur. has verò si effugerint, seruãtur. Quib⁹ autem ex his resectis os disparatum repertũ fuerit, hi pereunt.

Caput dolentibus ex posteriore parte ossa rupta habentibus, fluxio è nare larga, crassa, mala est:

κίλλοντα ὑποχόνδρια καὶ κοιλίην ἐπηρμένοι, ἀπόσιτοι, ἀπολελαμμένοι, ἐφιδροῦντες, ἦρα τουτέοισι τὸ θολερὸν πνεῦμα καὶ τὸ γονοειδὲς διϊθὸν, λύγγα σημαίνει; κοιλίη δὲ ἦρα χολώδης προσδιέρχεται; τὸ λαμπῶδες ἐν τουτέοισιν οὐρηθὲν ὠφελέει· καὶ κοιλίαι δὲ τουτέοισιν ἐπιταράσσονται.

Ἐγκεφάλου σφακελίσαντος οἱ μὲν ἐν τῇσι τρίτῃσιν ἡμέρῃσιν, οἱ δὲ ἐν τῇσιν ἑβδόμῃσι τελευτῶσι· ταύτας δὲ διαφυγόντες, σώζονται· οἷσι δὲ ἀνατμηθεῖσι τῶν τοιουτέων διεστηκὸς εὑρεθῇ τὸ ὀστέον, ἀπόλλυνται.

Τοῖσι κεφαλαλγικοῖσιν ὀστέα ἐαγεῖσιν ἐκ τοῦ ὄπισθεν, ῥύσις ἐκ μυκτῆρος λάβρος, παχεῖα, κα-

κῶν ὀφθαλμὸν προαλγήσαντες, οὗτοι ῥιγέουσιν. ἦρα αἱ κατὰ κρόταφον ὀστέων διαρραγαί, σπασμώδεες;

Ὠτὸς πόνος σύντονος, μετὰ πυρετοῦ ὀξέος, καὶ ἄλλου του σημείου τῶν ἀποδυσκόλων, τοὺς μὲν νέους ἑβδομαίους κτείνει, καὶ συντομώτερον παραφρονήσαντας, μὴ ῥυέντος πολλοῦ πύου ἐκ τοῦ ὠτός, ἢ ἐκ ῥινῶν αἵματος, μηδὲ ἄλλου του σημείου χρηστοῦ γινομένου· τοὺς δὲ πρεσβυτέρους βραδύτερον, καὶ ἧσσον ἀναιρεῖ· τά τε γὰρ ὦτα φθάνει ἐκπυέειν, καὶ παραφρονέουσιν ἧσσον· ὑποστρέφουσι δὲ οἱ πολλοὶ τουτέων, καὶ οὕτως ἀπόλλυνται.

ſi vbi oculum antea doluerint, rigent. nũ & iuxta tempora oſſium diruptiones cõuulſoriæ ſunt?

Auris dolor pertinax, cum febre acuta, & alio quodam ſigno aliquantum maligno, iuuenes quidẽ ſeptima die occidit, & citius delirio correptos, ſi non multũ pus effluxerit ex aure, aut ſanguis ę naribus, neque aliud quoddam bonum ſignum compareat: ſeniores autem tardius, & minus tollit. nam & aures ſuppuratione præueniunt, & minus delirant. verùm multi ex his recidiuant, atque ſic pereunt.

Surditas in acutis ac turbulentis conse quens, malũ: malum etiã in longis: in his autẽ dolores etiam ad coxas deducit.

Κώφωσις ἐν ὀξέσι καὶ ταραχώδεσι παρακολουθοῦσα, κακόν· κακὸν δὲ καὶ ἐν τοῖσι μακροῖσιν· ἄγει δὲ τὸν τούτοισι καὶ ἐς ἰσχία πόνους.

In febribus surditas, aluum sistit.

Ἐν πυρετοῖσι κώφωσις, κοιλίην ἐφίστησιν.

Aures frigidę, & pellucidę, & contractæ, perniciosæ.

Ὦτα ψυχρὰ, καὶ διαφανέα, καὶ συνεσταλμένα, ὀλέθριον.

Tinnitus in acutis, & sonitus in aurib⁹, letale.

Βόμβος ἐν ὀξέσι, ἢ ἦχος ἐν ὠσὶ, θανάσιμον.

Sonitus aurium, cũ visus hebetudine, & narium grauedine, mentem emouet, & sanguinẽ profundit.

Ἦχοι μετὰ ἀμβλυωσμοῦ, καὶ κατὰ ῥῖνας βάρεος, παρακρουστικὸν, καὶ αἱμοῤῥαγία.

Quibus surditas cum capitis grauita te, & pręcordij intẽtione, & ad splendo rem turbatio, sangui nem profundit.

Οἷσι κώφωσις μετὰ καρηβαρίης, καὶ ὑποχονδρίου ἐντάσιος, ἢ πρὸς αὐγὰς ἐνοχλεῖν, αἱμοῤῥοεῖ.

In febre acuta obsurdescere, furiosũ.

Ἐν ὀξεῖ πυρετῷ, ὦτα κωφοῦσθαι, μανικόν.

Οἱ δύσκωφοι, ἐν τῷ λαμβάνειν τρομώδεες, γλῶσσαν παραλελυμένοι, νωθροί, κακόν.

Προσηκούσης ἀῤῥωστίης κώφωσις, καὶ οὖρον ὑπέρυθρον, ἀκατάστατον, ἐναιωρεύμενον, παρακρουστικόν.

Τὸ ἰκτεροῦσθαι ἐν τούτοισι κακόν· κακὸν δὲ καὶ ἐκ τῶν ἰκτέρου μωρώσις· τούτους ἀφώνους, αἰσθανομένους ξυμβαίνει πνίγεσθαι. τάχα δὲ ἡ κοιλίη πονηρεύεται τούτοισι.

Τὰ δὲ ὀδυνηρῶς περὶ οὖς ἀνιστάμενα, ὀλέθρια.

Τὰ περὶ οὖς ἐκ τοῦ ἔμπροσθεν ἀλγήματος ἐρυθήματα ἐν πυρετοῖσι γινόμενα, σημεῖον μὲν ἐρυσιπέλα-

Valde surdi, in accipiendo tremuli, linguam resoluti, torpidi, malum.

Accedente ægritudine surditas, & vrina subrubicũda, subsidentiam non habens, sed id quod in medio innatat, mentem emouet.

Morbo regio corripi in his malum mala est & ex morbo regio fatuitas: hos voce priuari, sentiẽtes suffocari contingit. fortassis autẽ & alu⁹ male his afficitur.

Quę circa aurem dolorose excitãtur, perniciosa sunt.

Rubores ad aurẽ ex ꝓgresso dolore in febrib⁹ nascentes, signũ quidẽ sunt erysi

pelatis in facie futuri: sed & conuulsiones ex talibus fiunt, cum vocis interceptione ac exolutiõe.

τος τῶν προσώπου ἐσομένου· ἀτὰρ καὶ σπασμοὶ ἐκ τῶν τοιούτων γίνονται μετ' ἀφωνίης καὶ ἐκλύσιος.

Tumores circa aurem ex plurimis graueolentibus cum febre acuta, & præcordio intento tardius excitati, occidunt.

Τὰ περὶ οὖς τῶν πλείστοισι δυσώδεσι πυρετῷ ὀξεῖ, ὑποχονδρίῳ συντόνῳ χρονιωτέρως ἀρθέντα, κτείνει.

Tumores circa aurem, leniter sideratis mali.

Τὰ περὶ οὖς, φαῦλα τοῖσι παραπληκτικοῖσι.

Tumores circa aurem in lõgis morbis non suppurantes, letales. alui verò his deorsum feruntur. num quibus abscessus sunt iuxta aures, caput dolet? num è supernis partib⁹ exudant: num & insuper rigent? num & alui erumpunt, & quid soporosum habent?

Τὰ περὶ οὖς ἐν μακροῖσι μὴ ἐκπυοῦντα, θανάσιμον. κοιλίαι δὲ τοῖσι τουτέοισι τάχα φέρονται. ἆρά γε οἷσι τὰ περὶ ὦτα κεφαλαλγικοῖσιν; ἦρά τι ἐφιδροῦσι τὰ ἄνω; ἦρά τι καὶ ἐπερρίγεσιν; ἦρά γε αἱ κοιλίαι καταρρήγνυνται, καί τι καὶ κωματώδεες;

ἆρα καὶ τὸ ὑδατῶδες οὖρον ἐναιωρεύμενον λευκοῖσι, καὶ τὰ ὑπόποικιλα, ἔκλευκα, δυσώδεα;

num & aquosa est vrina, alba innatãtia habens, & aliquantũ varia, exalbida, graueolentia?

Τὰ παρ' οὖς λαπάσσει βηχία μετὰ πτυαλισμῶν ἰόντα.

Abscessus iuxta aurem submouent tussiculæ cum sputationibus ortæ.

Οὖρα τοῖσι παρ' ὦτα ταχὺ καὶ ἐπ' ὀλίγον πεπαινόμενα, φλαῦρα· καὶ τὸ καταψύχεσθαι ὧδε πονηρόν.

Vrinæ in abscessibus retrò aures citò & modicè maturescentes, malę sunt. & sic perfrigerari, malum est.

Τὰ παρ' οὖς ἐν τοῖσι χρονίοισιν ἐκπυούμενα μὴ λευκῶς σφόδρα καὶ ἀόδμως κτείνει, καὶ μάλιστα γυναῖκας.

Abscessus circa aurem in morbis diuturnis suppurati, nõ valde albo & inodoro pure occidunt, & maximè mulieres.

Τὰ παρ' οὖς μάλιστα ἐκ τῶν ὀξέων ἐν τοῖσι καυσώδεσι γίνεται. κἢν μὴ

Abscessus iuxta aurem, & ex acutis morbis maximè in febribus ardentibus fiunt: & si non iu-

dicationem fecerint, & ematurescăt, aut ex naribus sanguis fluxerit, aut vrinæ subsidentiă crassam habuerint ægri pereunt. plerique verò talium tumorum antea propulsantur.

κρίσιν ποιήσῃ, καὶ ἐκπεπαίνηται, ἢ ἐκ ῥινῶν αἷμα ῥυῇ, ἢ οὖρα ὑπόστασιν παχεῖαν λάβῃ, ἀπόλλυνται· τὰ πολλὰ δὲ τῶν τοιούτων οἰδημάτων προαποκαθίσανται.

Verùm considerare oportet insuper etiă ipsas febres, siue augescant, siue remittant, atq; sic pronunciare.

Προσεπιθεωρέειν δὲ καὶ τοὺς πυρετοὺς, ἤν τε ἐπιτείνωσιν, ἤν τε ἀνιῶσι, καὶ οὕτως ἀποφαίνεσθαι.

Ex surditate ac torpore, de naribus aliquid destillare, difficultatis aliquid habet. vomitus his conueniet, & alui turbatio.

Επὶ κωφώσει καὶ νωθρίῃ ἐκ ῥινῶν ὑποστάξαν, ἔχει τι δύσκολον. ἔμετος τουτέοισιν ἁρμόσει, καὶ κοιλίης ταραχή.

Ex surditate leniter abscessus ita aures fiunt, tum aliàs, tum si quid nauseæ accedat: sed & sopo-

Εκ κωφώσιος ἐπιεικέως τὰ παρ' ὦτα ἄλλως τε καὶ ἢν ἀσῶδές τι γίνηται· ἀτὰρ καὶ τοῖσι κωματώδεσιν

ἐπὶ

ἐπὶ τουτέοισι καὶ μᾶλλόν τι τὰ παρ' ὦτα.

Κώφωσιν ἐν πυρετῷ, ῥύσις ἢ ῥινῶν λύει, καὶ κοιλίης ταραχή.

Πρόσωπον ἐν μετεώρῳ ταπεινούμενον, καὶ φωνὴ λεπτοτέρη καὶ ἀσθενεστέρη γινομένη, καὶ πνεῦμα μανώτερον, καὶ λειότερον, ἄνεσιν ἐς τὴν ἐπιοῦσαν σημαίνει.

Προσώπου διαφθορὴ θανάσιμον· ἧσσον δ', εἰ δι' ἀγρυπνίην, ἢ λιμὸν, ἢ κοιλίης ἐκταραξιν γένηται· καθίσταται δὲ ἐν ἡμέρῃ καὶ νυκτὶ τὸ διὰ ταῦτα διαφθαρέν· γένοιτο δ' ἂν τοιοῦτον, ὀφθαλμοὶ κοῖλοι, ῥὶς ὀξεῖα, κρόταφοι συμπεπτωκότες, ὦτα ψυχρὰ καὶ συνεσταλμένα, δέρμα σκληρὸν, χρῶμα ὠχρὸν ἢ μέλαν· πελιαινόμε-

rosis,ex ijs etiã magis abſceſſꝰ ad aurẽ fiũt.

Surditatẽ ex febribꝰ, è naribus fluxio ſoluit, ac alui turbatio.

Facies quæ ex tumida humiliatur, & vox quę leuior ac debilior fit, & ſpiritus rarior ac læuior, remiſsionẽ in ſequentem diem ſignificat.

Faciei corruptio, letalis. verùm minꝰ, ſi propter vigilias, aut famem, aut alui exturbationem fiat: & ſi id quod propter hæc corruptum eſt, ſedetur per diem ac noctem: talis autem fuerit, oculi caui, naſus acutus, tempora collapſa, aures frigidæ ac contractæ, cutis dura, color pallidus aut niger: liue-

ſcens verò ex his palpebra, aut labiũ, aut nas⁹, breui letale eſt.

νον δὲ ἀπὸ τουτέοισι βλέφαρον, ἢ χεῖλος, ἢ ῥὶς, συντόμως θανάσιμον.

Faciei bonus color, & toruitas ĩ morbo acuto, malum eſt. Frontis ex his contractio, phrenitidis ſignum eſt.

Προσώπου εὔχροια, καὶ σκυθρωπότης ἐν ὀξεῖ, κακόν· μετώπου ξυναγωγὴ ἀπὸ τουτέοισι, φρενιτικόν.

Circa faciẽ color bonus, & ſudores nõ febrientibus, ſtercora vetuſta ſubeſſe ſignificat, aut victus rationem inordinatam.

Περὶ πρόσωπον εὔχροια, καὶ ἱδρῶτες ἀπυρέτοισι, κόπρανα παλαιὰ ὑπεόντα οἱ σημαίνει, ἢ διαίτης ἀταξίην.

Rubores circa naſum, alui humeſcentis ſigna ſunt.

Τὰ κατὰ ῥῖνας ἐρυθήματα, κοιλίης ὑγραινομένης σημεῖα.

Dolores circa præcordia aut pulmonẽ ſi ſuppurentur, malum eſt.

Τοῖσι κατὰ τὰ ὑποχόνδρια ἢ τὸν πλεύμονα πόνοισιν ἐμπυομένοισι, κακόν.

Oculorũ puritas, & albas ipſorum partes ex nigris aut liuidis puras fieri, iu-

Ὀφθαλμῶν καθαρότης, καὶ τὰ λευκὰ αὐτέων ἐκ μελαίνων ἢ πελιῶν καθαρὰ γίνεσθαι, κρί-

σιμον. ταχέως μὲν οὖν καθαιρομένων, ταχεῖαν σημαίνει κρίσιν· βραδέως δὲ, βραδυτέραν.

Τὸ ἀχλυῶδες τῶν ὀφθαλμῶν, ἢ τὸ λευκὸν ἐρυθραινόμενον, ἢ πελιαινόμενον, ἢ φλεβῶν μελαινῶν πληρούμενον, οὐκ ἀστεῖον. φλαῦρον δὲ καὶ τὸ τὴν αὐγὴν φεύγειν, ἢ δακρύειν, ἢ διαστρέφεσθαι· καὶ τὸν ἕτερον ἐλάσσω γίνεσθαι, πονηρόν· καὶ τὸ τὰς ὄψιας πυκνὰ διαῤῥιπτέειν· ἢ λημία μικρὰ περὶ αὐτὰς, ἢ αἰγίδα λεπτὴν ἴσχειν· ἢ τὸ λευκὸν μέζω γίνεσθαι, τὸ δὲ μέλαν ἐλάσσω· ἢ κρύπτεσθαι τὸ μέλαν ὑπὸ τὸ ἄνω βλέφαρον. πονηρὸν δὲ καὶ κοιλότης ὀμμάτων,

dicatorium eſt. ſi igitur citò purgentur, celerem iudicationem ſignificat: ſi tardè, tardiorem.

Caligo oculorum, aut ſi alba ipſorum pars rubeſcat, aut liueſcat, aut venulis nigris impleatur, bonũ non eſt. Malum eſt etiã lucis ſplendorẽ fugere, aut lachrymari, aut diſtorqueri. & alterũ minorẽ fieri, malũ eſt: & oculos frequenter agitare ac iactare, aut paruas lemas ac ſordes circa ipſos, aut cõcretionẽ tenuẽ albicãtẽ habere: aut albã partem maiorem fieri, nigram verò minorem: aut nigram ſub palpebram ſupernã occultari. Mala eſt etiam oculorũ cauitas,

&expreſsio valida foras,& ſplendoris extritio, vt pupilla extẽdi nõ poſsit: & extremitatũ palpebrarum curuitas, & oculi fixi, & aſsiduè nictare,& colores permutare,& palpebras inter dormiendũ nõ cõmittere,perniciosũ eſt. malus eſt & oculus peruerſus.

Oculorũ rubor in febre oriẽs,alui diuturnã malignã affectionem ſignificat.

Circa oculos puſtularum eruptiones in viriũ refectionibus, aluum prorumpere faciunt.

In oculorũ diſtortione, laſſato febriẽti,rigor perniciosus: & ſoporoſi in his,malè habent.

καὶ ἔκθλιψις ἔξω σφοδρὰ, καὶ λαμπηδόνος ἔκθλιψις, ὥστε μὴ δύνασθαι τὴν κόρην ἐκτείνεσθαι· καὶ βλεφαρίδων καμπυλότης, καὶ πῆξις ὀμμάτων, συνεχέως τε μύειν, καὶ χρώματα μεταβάλλειν, καὶ βλέφαρα μὴ συμβάλλειν ἐν τῷ καθεύδειν, ὀλέθριον· κακὸν δὲ καὶ ἰλλαίνων ὀφθαλμός.

Ὀφθαλμῶν ἔρευθος ἐν πυρετῷ γινόμενος κοιλίης πονηρίην χρονίην σημαίνει.

Αἱ παρ' ὀφθαλμῶν ἐπαναστάσιες ἐν τῇσιν ἀνακομιδῇσι, κοιλίην καταῤῥηγνύουσιν.

Ἐπὶ ὀμμάτων διαστροφῇ, κοπιώδει, πυρετώδει, ῥῖγος ὀλέθριον· καὶ οἱ κωματώδεες ἐν τουτέοισι, κακόν.

Ὀφθαλμιῶντι ἀνδρὶ, πυρετοῦ ἐπιγινομένου, λύσις· εἰ δὲ μὴ, κίνδυνος τυφλωθῆναι, ἢ ἀπολέσθαι, ἢ ἀμφότερα.

Viro lippienti, febre ſuperueniẽte, ſolutio: ſin minus, periculũ eſt ne cæcus fiat, aut pereat, aut vtrunque.

Οἷσιν ὀφθαλμιῶσι κεφαλαλγίη προσγίνεται, καὶ παρακολουθεῖ χρόνον πουλὺν, κίνδυνος τυφλωθῆναι.

Quib⁹ lippientib⁹ capitis dolor accedit, & ad multũ tẽpus comitatur, periculum eſt ne cæci fiãt.

Ὀφθαλμιῶντι διάῤῥοια ἀπὸ ταυτομάτου, χρήσιμον.

Lippienti alui profluuium ſua ſponte prodiens, vtile eſt.

Ὀμμάτων ἀμαύρωσις, καὶ τὸ πεπηγὸς, ἀχλυῶδες, κακόν.

Oculorũ obſcuratio, & oculus fixus, caliginoſus, malum.

Ὀμμάτων ἀμαύρωσις ἅμα ἀψυχίῃ, σπασμῶδες συντόμως.

Oculorum obſcuratio cum animi deliquio, breui conuulſionem inducit.

Ὀμμάτων ὀρθότης ἐν ὀξεῖ, καὶ κίνησις ὀξείη, καὶ ὕπνος ταραχώδης, ἀγρυπνίη, ποτὲ δὲ καὶ στάξις ἐκ ῥινῶν,

Oculorũ rectitudo ĩ morbo acuto, & mot⁹ velox, & ſõnus turbulẽtus, & vigiliç, & quãdoq; ſanguinis è naribus ſtillationes,

nihil boni.

Qui febres ad tactum non adurentes habẽt, phrenitici fiunt: & magis si sanguis fluxerit.

* *

Πρὸς τὴν ἀφὴν μὴ περικαέες, φρενιτικοὶ γίνονται, καὶ μᾶλλον ἢν αἷμα ῥυῇ.

Lingua quę ĩ principio quidem inhorruit, in colore verò permanet: progressu autem temporis exasperatur, & liuescit, & rũpitur, letalis est. Si verò valde nigrescat, in quartadecima die iudicationẽ fore significat. periculosissima autẽ est nigra, & cum virore pallida.

Γλῶσσα δὲ, κατ' ἀρχὰς μὲν περιφρικῦσα, τῷ δὲ χρώματι διαμένουσα, προϊόντος δὲ τοῦ χρόνου, τραχυνομένη καὶ πελιαινομένη, ἢ ῥηγνυμένη, θανάσιμον. σφόδρα δὲ μελαινομένη, ἐν τεσσαρεσκαιδεκάτῃ κρίσιν γενέσθαι δηλοῖ. χαλεπωτάτη δὲ ἐστὶν ἡ μέλαινα καὶ χλωρή.

Linguam circa bifidam sui partem, velut saliua alba obduci, febris remissionis signum est, siquidem id quod superinductum est, crassum fuerit eadem die:

Γλώσσης παρὰ τὸ δίκρουν, ὥσπερ σιάλῳ λευκῷ καταλείφεσθαι, σημεῖον ἀνέσεως πυρετοῦ, παχέος γενομένου τοῦ ἐπιγεννήματος αὐθήμερον·

λεπτοτέρου δὲ, ἐς τὴν ὑστεραίην· ἔτι λεπτοτέρου, τριταίην. τὰ δ' αὐτὰ σημαίνει καὶ ἐπ' ἄκρην τὴν γλῶσσαν γινόμενα, ἧσσον δέ.

si verò tenuius, postridie. si verò adhuc tenuius, tertia die. Eadẽ significant etiam huiusmodi, si circa summam linguam fiant, verùm minus.

Γλῶσσα τρομώδης μετ' ἐρυθήματος κατὰ ῥῖνας, καὶ κοιλίης ὑγρῆς· τὰ δὲ ἄλλα ἀσήμως ἔχοντα κατὰ πλεύμονα, πονηρά, καὶ ὀξέας καθάρσιας ὀλεθρίους σημαίνει.

Lingua tremula cum rubore iuxta nasum, & aluo liquida, si reliqua sine signis sint circa pulmonẽ, malum est, & celeres purgationes perniciosas significat.

Γλῶσσα παρὰ λόγον ἀπαλυνομένη, καὶ ἀσώδης μεθ' ἱδρῶτος ψυχροῦ ὑπὸ κοιλίῃ ὑγρῇ, μελαινῶν ἐμέτων ἐστὶ σημεῖον. τὸ κοπιῶδες ἐν τουτέοισι κακόν.

Lingua citra rationẽ quæ tenera fit, & cũ cibi fastidio nauseabunda cũ frigido sudore ex aluo liquida, nigrorum vomituum signũ est: lassitudo in his mala est.

Αἱ τρομώδεες γλῶσσαι τισὶ καὶ κοιλίην ὑγρὴν ποτε ποιέουσι·

Lĩguæ tremulę quibusdam & aluum liquidã qñq; faciunt:

denigratæ verò in his celerem mortem significant. Num lingua tremula mentē non firmā significat?

Linguæ asperæ & resiccatæ phreniticę sunt.

Dentes collidere aut stridere, quibus non familiare id est à pueris, furiosum ac letale est: iam vero delirās si hoc faciat, penit[9] letale est. perniciosum autem est & resiccari dentes.

Dentis corruptio abscessum circa gingiuam factū soluit.

Ex dētis corruptione vehemens febris superaccedens, & delirīū, letale est: si verò seruentur vlcera suppurabunt, & ossa discedent.

μελανθεῖσαι δὲ ἐν τούτοισι, ταχὺν θάνατον σημαίνουσιν. ἦρά γε τρομώδης γλῶσσα σημαίνει οὐχ ἱδρυμένην γνώμην;

Αἱ δασεῖαι κατάξηροι, φρενιτικαί.

Ὀδόντας συνερίζειν ἢ πρίειν, ᾧ μὴ συνήθες ἐκ παιδίου, μανικὸν καὶ θανάσιμον· ἤδη δὲ παραφρονῶν ἢν ποιέῃ τοῦτο, παντελῶς ὀλέθριον. ὀλέθριον δὲ καὶ ξηραίνεσθαι τοὺς ὀδόντας.

Ὀδόντος σφακελισμὸς. ἀπόστημα παρὰ οὖλον γενόμενον λύει.

Ἐπὶ ὀδόντος σφακελισμῷ πυρετὸς ἐπιγενόμενος σφοδρὸς, καὶ παραφροσύνη, θανάσιμον· ἢν δὲ σώξωνται, ἕλκεα ἐκπυήσει, καὶ ὀστέα ἀφίσταται.

Οἷσι περὶ τὴν ὑπερῴην ὑγροῦ σύστασις γίνεται, ὡς τὰ πολλὰ πυοῦται.

Τὰ περὶ γνάθας ἀλγήματα σφοδρὰ, κίνδυνος εἰς ὀστέου ἀνάπλευσιν ἐλθεῖν.

Χεῖλος συσπώμενον σημαίνει κοιλίης χολώδεος κατάρρηξιν.

Τὰ ἀπὸ οὔλων αἵματα ἐπὶ κοιλίῃ ὑγρῇ, ὀλέθρια.

Πτυάλου ἀναχρέμψιες ἐν πυρετῷ, πελιδναὶ, μέλαιναι, χολώδεες ἐπιστᾶσαι μὲν κακὸν, ἀποχωρέουσαι δὲ κατὰ λόγον, χρήσιμοι.

Οἷσιν ἁλμώδεα πτύελα, καὶ βὴξ ὑφίσταται, τουτέοισι χρὼς ἐρυθραίνεται οἷον ἐξανθίσματα· πρὸ δὲ τῆς τελευτῆς τραχύνεται.

Quibus circa palatum humoris collectio fit, plerunque supp.rantur.

Dolores vehementes circa maxillas, periculũ est ne ad ossis eductionẽ deueniãt.

Labium contractũ, alui biliosæ eruptionem significat.

Sanguis de gingiuis ex aluo liquida, perniciosus.

Sputi excreationes in febre, liuidæ, nigræ, biliosæ, siquidem supprimantur malæ sunt secedentes verò pro ratione, vtiles.

Quibus salsuginosa sputa, ac tussis supprimũtur, his corpus velut à pustulis rubescit. verùm ante obitum exasperatur.

Screatio frequens, si sanè & aliud quoddam signũ affuerit, phrenitidẽ indicat.

Ἀνάχρεμψις πυκνή, ἤν δή τι καὶ ἄλλο σημεῖον προσῇ, φρενιτικόν.

Vocis interceptiones cum exolutione, pessimæ.

Αἱ μετ' ἐκλύσιος ἀφωνίαι, κάκισαι.

Modicè feroces mẽtis emotiones, malæ & ferinæ sunt.

Αἱ ἐπ' ὀλίγον θρασέες παρακρούσιες, πονηρὸν καὶ θηριῶδες.

Quibus vox cum febre deficit & cum iudicatione intercepta, tremuli moriuntur.

Οἷσι φωνὴ ἅμα πυρετῷ ἐκλείπει μετὰ ἀκρισίας, τρομώδεες θνήσκουσιν.

Vocis interceptiones in febre cõuulsorio modo oriẽtes, & ad mentis emotionẽ cum silentio deueniẽtes perniciosum.

Αἱ ἐν πυρετῷ ἀφωνίαι, σπασμώδεα τρόπον ἐκστᾶσαι σιγῇ, ὀλέθριον.

Vocis ex dolore interceptiones, dolorosam mortẽ inducũt.

Αἱ ἐκ πόνου ἀφωνίαι, δυσθάνατοι.

Vocis interceptiones cum exolutione stupefactorio modo,

Αἱ μετ' ἐκλύσιος κατόχως ἀφωνίαι,

ὀλέθριοι.

Αἱ κατακλώμεναι φωναὶ μετὰ φαρμακείην, ἦ ῥα πονηρόν; τουτέων οἱ πλεῖστοι ἐφιδροῦσι, καὶ κοιλίας καθυγραίνονται.

Ἐν ἀφωνίῃ πνεῦμα οἷον τοῖσι πνιγομένοισι, πρόχειρον, πονηρόν· ἦ ῥά γε καὶ παρακρουστικόν;

Αἱ ἐκ κεφαλαλγίης ἀφωνίαι ἅμα ἱδρῶτι πυρετώδεες, χαλῶνται ἐπ' αὐτῶν, αὐτίκα χρονιώτερα. ἐπερριγοῦντα τουτέοισιν, οὐ πονηρόν.

Αἱ μετ' ἀφωνίης ἐκστάσιες, ὀλέθριαι.

Αἱ τοῖσιν ἐπερριγέουσιν ἀφωνίαι,

perniciosæ ſunt.

Voces confractæ poſt medicamenti ſumptionem, nũ prauæ ſunt; pleriq; horũ exudant, & ventres humectos habent.

In vocis interceptione ſpiritus, velut his qui ſtrãgulãtur, præ manibus expoſitus, malus eſt. num & mentem emouet?

Ex capitis dolore vocis interceptiones ſi ſint, febricitantes cum ſudore, laxãtur in ſeipſos, fiúntque morbi reuertentes diutius durantes. his inſuper rigere, malũ non eſt.

Mentis emotiones cum vocis interceptione, perniciosæ.

Vocis interceptiones inſup̃ rigentibꝰ,

letales: tales autē leniter caput dolent.

θανάσιμον· εἰσὶ δὲ κεφαλαλγέες οἱ τοιοῦτοι ἐπιεικέως.

Vocis interceptiones cū exolutione, in febre acuta sine sudore, sunt quidem letales, minus verò cum sudore: verùm diuturnitatem tēporis significant. fortassis autē & qui ex recidiua tale quid patiūtur, tutissimi sūt: perniciosissimè autem ex talib⁹ habēt, quibus sanguis ex naribus fluit, & quibus alui humectantur.

Αἱ μετ' ἐκλύσεως ἀφωνίαι, ἐν πυρετῷ ὀξεῖ ἀνιδρῶτι, εἰσὶ μὲν θανάσιμοι, ἧσσον δὲ τῷ ἱδρουῦτι· χρόνον δὲ σημαίνει. ἴσως δὲ καὶ οἱ ἐξ ἐπιστροφῆς παθόντες τι τοιοῦτον, ἀσφαλέστατοι· ὀλεθριώτατοι δὲ τῶν τοιούτων, οἷσι τὰ ἐκ ῥινέων, καὶ οἷσι κοιλίαι καθυγραίνονται.

Vox acuta planctū referēs, & oculorum obscuratio, conuulsoriū est: dolores his ad īfernas partes, toleratu faciles sunt.

Η ὀξυφωνίη κλαυθμώδης, καὶ ὀμμάτων ἀμαύρωσις, σπασμώδες· οἱ ἐς τὰ κάτω πόνοι, τουτέοισιν εὔφορον.

Cum voce tremula solutio alui præter rationem, in his

Αμα φωνῇ τρομώδει, λύσις κοιλίης παράλογος, ἐν τουτέοισι

διεστηκόσι χρονίοισιν ὀλέθριον.

morã trahentib⁹ diuturnis, pernicies eſt.

Αἱ πυκναὶ ἀποκαρώδεες ἀφωνίαι ξυστᾶσαι, φθινώδεα προσημαίνουσι.

Frequentes ſubſoporatę vocis interceptiones conſiſtentes, tabem præſignant.

Πνεῦμα, πυκνὸν μὲν καὶ σμικρὸν ἐὸν, φλεγμονὴν καὶ πόνον ἐν τοῖσι καιρίοισι τόποισι σημαίνει· μέγα δὲ καὶ διὰ πολλοῦ, παραφροσύνην ἢ σπασμὸν· ψυχρὸν μὲν θανάσιμον, θανάσιμον δὲ καὶ πυρετῶδες καὶ λιγνυῶδες πνεῦμα. ἧσσον δὲ τοῦ ψυχροῦ καὶ τὸ μέγα ἔξω πνεόμενον· σμικρὸν δὲ εἴσω, καὶ τὸ μικρὸν ἔξω, μέγα δὲ εἴσω, κάκιστον δὴ καὶ πλησίον θανάτου, καὶ τὸ ἐκτεῖνον καὶ κατεπεῖγον, δὶ ἀμαυρον, καὶ διπλῆ

Spiritus, qui dẽſus quidẽ & paruus eſt, inflãmationem & dolorem in locis principalibus ſignificat: magnus autẽ & per multum tempus, delirium aut conuulſionem: & frigidus quidẽ letalis eſt, letalis autem eſt & febriculoſus & fuliginoſus. verùm minus q̃ frigidus. & qui magnus foras exſpiratur: paruus verò intro, & paruus foras, magnus verò intro, peſsimus ſanè eſt, & morti propinquus. itẽq; extendẽs, & vrgẽs, & obſcur⁹, & dupla

intro reuocatio, veluti ſuperinſpirantibus. bona autē ſpiratio, ī omnibꝰ morbis qui cū febre acuta ſunt, & in quadraginta diebus iudicātur, magnū momentum ad ſalutē habet.

εἴσω ἐπανάκλησις, ὁκοῖον ἐπεισπνέουσιν· εὔπνοια δὲ ἐν πᾶσιν ὁκόσα ἐν πυρετῷ ὀξεῖ, κἢν ἐν τεσσαράκοντα ἡμέρῃσι κρίνεται, μεγάλην ἔχει ῥοπὴν ἐς σωτηρίην.

Collum durum & doloroſum, & maxillarum colligatio, & venarum iugulariū palpitatio fortis, & tendinum diſtentio, pernicioſum.

Τράχηλος σκληρὸς καὶ ἐπώδυνος, καὶ γνάθων σύνδεσις, καὶ φλεβῶν σφαγιτίδων παλμὸς ἰσχυρὸς, καὶ τενόντων ξύντασις, ὀλέθριον.

Dolores in faucibus gracilibꝰ ſtrāgulatorij à capitis dolore originē trahentes, cōuulſorij ſunt.

Τὰ ἐν φάρυγγι ἰσχνῷ ἀλγήματα πνιγώδεα, ἀπὸ κεφαλῆς ἀλγηδόνος ὁρμώμενα, σπασμώδεα.

Frigiditates colli ac dorſi apparentes, ſed & totiꝰ corporis cōuulſoriȩ, in his mictiones fiūt craſsiorem farinā referētes.

Αἱ τραχήλου καὶ μεταφρένου ψύξιες δοκέουσαι, καὶ ὅλου δὲ τοῦ σώματος σπασμώδεες, ἐν τουτέοισι κριμνώδεες οὐρήσιες.

Οἷς κατὰ φάρυγγα ἐρεθισμοὶ, ἐπιεικέως τὰ παρ' οὖς ἐπάρματα.

Quibus circa fauces irritaméta sunt, his tumores circa aurem leniter erũpunt.

Φάρυγξ ἐπώδυνος, ἰσχνὴ, μετὰ δυσφορίης, ὀλέθριον ὀξέως.

Fauces dolorosæ, graciles, cũ ægrè tolerabili molestia, p̄niciosæ acutè sunt.

Οἷσι πνεῦμα ἀνέλκεται, καὶ φωνὴ πνιγμώδης, σπόνδυλος ἐγκάθηται, τουτέοισιν ὑπὸ τῇσι τελευτῇσιν οἷον συσπῶντός τινος τὸ πνεῦμα γίνεται.

Quibꝰ spiritus retrahitur, & vox strãgulatoria est, & vertebra intro cõsidet, his in fine velut contrahente quodã spiritus fit.

Φάρυγξ βηχώδεσσα ἐπ' ὀλίγον, καὶ κοιλίη κενεῇσιν ἀναστάσεσι, μετώπῳ ἀλγήματα, ψηλαφώδεες, ὀδυνώδεες· τὰ ἐκ τουτέων αὐξανόμενα, δύσκολα.

Fauces modicè exasperatæ, & aluus vanis conatibus nitẽs, frontis dolores, ægri palpãdo contrectantes, dolorosi: quæ ex his augescunt, difficilia sunt.

Τὰ κατὰ φάρυγγα ἰσχυρὰ ἀλγήματα, τὸ παρ' οὖς ἔπαρμα, καὶ σπασμοὺς ἐργάζεται,

Dolores fortes circa fauces, tumores circa aurem, & conuulsiones efficiunt,

colli item ac dorsi dolores.

Cũ febre acuta cõuulsiones ꝑniciosæ.

Colli & cubitorũ dolores, cõuulsorij: à facie autem hi, & secundum fauces.

Pallidi, graciles, saliuã sputantes, in his in somnis sudores boni sunt. num & sudore leuari plurimis non malum est? dolores ad infernas partes his toleratu faciles sunt.

In dorsi ac pectoris dolore mictio cruéta suppressa, perniciosa est cũ dolore.

Colli dolor, malũ quidem in omni febre, pessimũ autem his quibus timor est vt etiam insaniant.

In pectoris dolo-

καὶ τραχήλου καὶ νώτου ἀλγήματα.

Μετὰ πυρετοῦ ὀξέος σπασμοὶ, ὀλέθριον.

Τραχήλου καὶ, πήχεων ἀλγήματα σπασμώδεα· ἀπὸ προσώπου δὲ ταῦτα, καὶ κατὰ φάρυγγα.

Ὠχροὶ, ἰσχνοὶ, πτυαλίζοντες, ἐν τουτέοισιν ἐν ὕπνοισιν ἱδρῶτες ἀγαθοί· ἦ ἄρα γε καὶ τῷ ἱδρῶτι κουφίζεσθαι, τοῖσι πλείστοισιν οὐ πονηρόν; οἱ ἐς τὰ κάτω πόνοι τουτέοισιν εὔφοροι.

Ἐν ἀλγήματι νώτου καὶ στήθεος αἱματώδης οὔρησις ἐπιστᾶσα, ὀλέθριος ἐπιπόνως.

Τραχήλου πόνος, κακὸν μὲν ἐν πυρετῷ παντὶ, κάκιστον δὲ ἐν οἷσι καὶ ἐκμανῆναι ἐλπίς.

Ἐπὶ στήθεος ἀλγήματι

μάτι πυρετώδει, καὶ κοιλίη ταραχώδης, ναρκώδης, σημεῖα μελαινῶν ἀποχωρησίων.

re febriculoso, aluus turbata, torpida, nigrarum egestionum signa sunt.

Τὰ ἐν ὀξέσι κατὰ φάρυγγα ἰσχνὴν μικρὰ ὀδυνώδεα, ὅτε χαίνοι μὴ ῥηϊδίως συνάγοντι ἰσχνῷ, παρακρουστικά. ἐκ τουτέων φρενιτικοὶ, ὀλέθριον.

Dolores parui in acutis iuxta fauces graciles, in gracili vbi hiarit, non facilè os contrahente, mentem emouent. ex his phrenitici perniciosè habent.

Φάρυγξ ἑλκωμένη ἐν πυρετῷ, μετ᾽ ἄλλου σημείου τῶν δυσκόλων, κινδυνῶδες.

Fauces exulceratę in febre cum alio signo ex his quæ difficilia sunt, periculosæ sunt.

Ἐν πυρετοῖσιν ἐξαπίνης πνίγεσθαι, καὶ καταπίνειν μὴ δύνασθαι, χωρὶς οἰδήματος, κακόν.

In febribus de repẽte suffocari, & deglutire non posse, citra tumorẽ, malũ est.

Τράχηλον ἐπιστραφῆναι μὴ δύνασθαι, μηδὲ καταπίνειν, θανάσιμον ὡς τὰ πολλά.

Collum conuertere non posse, neque deglutire, vt plurimùm letale est.

Ὑποχόνδριον δὲ χρὴ μαλθακὸν εἶναι, καὶ ἄπο

Præcordium molle esse cõuenit, & do

loris exors, & æquale. at inflãmatũ, aut inæqualiter se habens, aut dolens, signum est ægritudinis non leuis.

Tumor verò ĩ præcordijs durus & dolorosus, pessimus quidem est, si iuxta omnes partes fuerit. ex his autẽ qui ab vna parte sunt, minus periculosus est qui à sinistris est. significant autem, in principio quidem tales mortẽ citam: si verò viginti dies transmittant, febre manẽte, suppurationem. contingit autem his in primo circuitu. sanguinis eruptio è naribus, valde prodest. plerunq; enim hi caput dolent, & visus obscuratur. & magis in his

νον καὶ ὁμαλές· φλεγμαῖνον δὲ, ἢ ἀνωμάλως ἔχον, ἢ ἀλγούμενον, σημεῖον ἀῤῥωστίης ἐστὶν οὐκ εὐήθεος.

Οἴδημα δὲ ἐν ὑποχονδρίοισι σκληρὸν ἐὸν καὶ ἐπώδυνον, κάκιστον μὲν, εἰ παρὰ πάντων εἴη τῶν μερέων· τὸ δὲ ἐκ τοῦ ἑνὸς μέρεος, ἀκινδυνώτερον τὸ ἐκ τῶν ἀριστερῶν. σημαίνει δὲ, ἐν ἀρχῇ μὲν τὰ τοιαῦτα θάνατον συντομον· ὑπερβάλλοντα δὲ τὰς εἴκοσι, τοῦ πυρετοῦ μένοντος, ἐμπύησιν. γίνεται δὲ τούτοις ἐν τῇ πρώτῃ περιόδῳ· ῥῆξις αἵματος διὰ ῥινῶν κάρτα ὠφελέει. τὰ δὲ πολλὰ κεφαλὴν οὗτοι πονέουσι, καὶ ὄψις ἀμαυροῦται. καὶ μᾶλλον εἰς ταῦτα προσγί

νου προσδέχου τὴν ῥῆξιν. ἡλικίῃσι δὲ λε. ἐτέων· τοῖσι δὲ πρεσβυτέροισιν, ἧσσον.

ſanguinis eruptionẽ affore expecta. in ætatibus autẽ annorũ trigintaquinque: ſenioribꝰ verò minus.

Τὰ μαλθακὰ δὲ καὶ ἀνώδυνα τῶν οἰδημάτων, χρονιώτερα δὲ τὰς κρίσιας ποιέεται, ἧσσόν ἐστιν ἐπικίνδυνα· τὰς δὲ ἑξήκοντα καὶ ταῦτα ὑπερβάλλοντα, τοῦ πυρετοῦ μένοντος, ἐμπυοῦνται. παραπλήσια δὲ σημαίνει τοῖσιν ἐν ὑποχονδρίοισι καὶ τὰ περὶ κοιλίην. πλὴν ἧσσον ἐκπυοῦται ταῦτα ἐκείνων. ἥκιστα δὲ ὑπ᾽ ὀμφαλόν. καὶ γίνεται δὲ ταῦτα μὲν ἐν χιτῶνι, τὰ δ᾽ ἄνω κεχυμένα. θανάσιμα δ᾽ ἐστὶν αὐτῶν, ὅσα ἂν εἴσω ῥαγῇ. τῶν δὲ λοιπῶν

At verò molles & doloris exortes tumores, diuturniores iudicationes faciũt, & minus periculoſi ſunt. ſed & hi ſexaginta dies tranſgrediẽtes, febre manente, ſuppurantur. conſimilia verò ſignificant & tumores circa ventrem, his qui ſunt in præcordijs. verùm minus ſuppurantur hi quã illi. minimè verò qui ſub vmbilico cõſiſtunt. & fiũt etiam hi quidẽ in tunica, illi verò ſurſum diffuſi. letales autẽ ſunt ex ipſis, quicũq; intro rupti fuerint. ex reliquis autẽ

ſuppurationib⁹, quæ quidem foras rumpuntur, optimum eſt vt in breuiſsimã & acutiſsimam molem colligantur: quę verò intro, vt neq; mole, neque dolore, neque colore foris ſe manifeſtas faciãt: cõtrarium autem peſsimum eſt. quædã verò ex his propter puris craſsitudiné, nullam de ſe ſignificationem præbent. porrò recẽtes in præcordijs tumores, ſi non cum inflammatione fuerint, & dolores ab ipſis ſoluit murmur in præcordio obortũ, & maximè quidé ſi pertrãſierit per vrinas, & alui egeſtiones. ſin min⁹, ſi etiã ipſum pertrãſierit, ꝓdeſt autẽ & ſi ſubdeſcenderit ad infernos locos.

ἐμπυημάτων, τὰ μὲν ἔξω ῥηγνύμενα, βέλτιστον μὲν ὡς εἰς ἐλάχιστον καὶ ὀξύτατον συλλέγεσθαι. τὰ δὲ εἴσω, μήτε ὄγκῳ, μήτε πόνῳ, μήτε χρώματι διάδηλον ἔξω ποιέει· τὸ δὲ ἐναντίον κάκιστον. τινὰ δὲ τούτων διὰ πάχος πύου, οὐ διασημαίνει· τὰ δὲ πρόσφατα τῶν ἐν τοῖσιν ὑποχονδρίοισιν ἐπαρμάτων, ἢν μὴ σὺν φλεγμονῇ ᾖ, καὶ τοὺς ἀπ᾽ αὐτῶν πόνους λύει βορβορυγμὸς γενόμενος ἐν ὑποχονδρίῳ, καὶ μάλιστα μὲν διαπερῶν δι᾽ οὔρων, ἢ διαχωρημάτων· εἰ δὲ μὴ, καὶ αὐτὸς διαπεραιωθεὶς ὠφελεῖ· ἢ καὶ ὑποκαταβὰς ἐς τὰ κάτω χωρία.

Σφυγμὸς ἐν ὑποχονδρίῳ μετὰ θορύβου, παρακρουστικὸν, καὶ μᾶλλον ἢν ὄψιες πυκνὰ κινέωνται.

Pulſus in præcordio cũ tumultu, mentis emotorius eſt, & magis ſi oculi frequẽter moueantur.

Καρδίης πόνος καὶ σφυγμὸς ὑποχονδρίων, πυρετοῦ περιψυχθέντος, κακὸν, ἄλλως τε κἢν ἐφιδρῶσιν.

Oris vẽtriculi dolor, & pulſus pręcordiorum, febre perfrigerata malum, tum aliàs, tum ſi inſuper exudarint.

Ες ὑποχόνδριον ἐμπίπτοντα ἀλγήματα, ἄλλως τε πονηρὸν, καὶ ἢν κοιλίας καθυγραίνῃ. κάκιω δὲ ἐν ὀλίγῳ γινόμενα. καὶ τὰ παρ' οὖς τε ἀνιστάμενα ἐκ τουτέων, κακοήθεα, καὶ τὰ ἄλλα ἐκπυήματα.

Dolores ad pręcordium irruentes, tum aliàs mali ſunt, tum ſi aluos humectent. peiores autem ſunt, ſi breui fiãt. & tumores circa aurẽ ex his emergẽtes, maligni ſunt, & aliæ ſuppurationes.

Καρδιαλγικὰ καὶ μετὰ στρόφου, κοιλίης θηρία καταῤῥήγνυται.

Oris ventriculi dolores cum tormine, ventris animalcula erumpere faciunt.

Καρδίης ἄλγημα πρεσβυτέρῳ πυκνῷ

Oris ventriculi dolor ſeniorẽ frequẽter

impetẽs, mortem repentinam significat.

ἐπιφοιτέον, θάνατον ἐξαπίναιον σημαίνει.

Quibus pręcordia eleuantur, aluo suppressa, malũ est, maximè autẽ in morbis tabidis longis, & quibꝰ alui humectãtur.

Οἷσιν ὑποχόνδρια μετεωρίζεται, κοιλίης ὑποστάσης, κακὸν· μάλιστα δὲ ἐν φθινώδεσι τῶν μακρῶν, καὶ οἷς κοιλίαι ὑγραίνονται.

In præcordio inflammatio suppuratoria est, quibus ante mortem nigra per aluum subeunt.

Ἐν ὑποχονδρίῳ φλεγμονὴ ἀποπυητική ἐστιν, οἷς πρὸ τοῦ θανάτου, μέλανα διαχωρέει.

Præcordiorũ distẽtio cum sopore anxioso, in caput dolente abscessus circa aurem attollit.

Ὑποχονδρίων σύντασις μετὰ κώματος ἀσώδεος, κεφαλαλγικῷ τὰ παρ᾽ οὖς ἐπαίρει.

Post præcordiorũ tumorem, biliosis spiritus magnus & febris acuta, abscessus circa aurem attollit.

Μετὰ ὑποχονδρίων ἔπαρσιν, τοῖσι χολώδεσι πνεῦμα μέγα καὶ πυρετὸς ὀξὺς, τὰ παρ᾽ οὖς ἐπαίρει.

In dolore præcordiorum submurmurãti, lumborũ dolor superaccedens, in fe-

Ἐν ὑποχονδρίων ἀλγήματι ὑποβορβορύζοντι, ὀσφύος ἄλγημα ἐπιγενόμενον, ἐν πυ-

ρετοῖς, κοιλίας ἐπιτοπολὺ καθυγραίνει, ἢν μὴ φῦσα καταῤῥαγῇ, ἢ οὔρου πλῆθος ἔλθῃ.

bribus, vẽtres vt plurimùm humectat, nisi flatus eruperit, aut vrinę copia prodierit.

Ἐπὶ ὑποχονδρίῳ χρονίῳ, καὶ κοιλίῃ δυσώδει, παρ' οὖς ἀπόστημα κτείνει.

Ex præcordio diutinè afflicto, & aluo graueolẽti, abscessus circa aurem occidit.

Τοῖσιν ἀπὸ ὑποχονδρίων ἀλγήμασιν κοιλίη κατὰ μικρὸν ὑπόγλισχρα διαδιδοῦσα, βραχέα κοπρώδεα ἐκχέοι, ἆρα καὶ αἱμοῤῥαγέει;

Quibus à præcordiorũ doloribus aluus paulatim subuiscosa egerens, pauca stercoracea effundit, num etiam sanguinem effundit?

Οἷσιν ἐξαίφνης ἀπυρέτοισιν ἐοῦσιν, ὑποχονδρίου καὶ καρδίης πόνος, καὶ περὶ σκέλεα καὶ τὰ κάτω μέρεα, καὶ κοιλίη ἐπήρθη, λύει φλεβοτομίη, καὶ κοιλίης ῥύσις. πυρέξαι βλαβερὸν τούτοισι· μακροὶ δὲ οἱ πυρετοὶ καὶ ἰσχυ-

Quibus derepẽte dum sine febre sunt, præcordij & oris vẽtriculi dolor, & circa crura ac infernas partes, & aluus in tumorem eleuata est, soluit venæ sectio, & alui fluxio. his febrire nocuum est: longę enim & vehemen

tes febres fiũt, & tusses, & spiritus, & singultus fiunt. his autẽ ad solutionẽ tendentibus, dolor fortis coxarum, aut crurum, aut puris sputũ, aut oculorum priuatio succedit.

Quibus dolores præcordiorum, oris ventriculi, hepatis, partium circa vmbilicũ, hi sanguine per aluum egesto, seruãtur: non autem egesto, moriuntur.

Quibus præcordia nõ mollia, facies sana, non liberantur citra multi sanguinis ex naribus fluxũ, aut conuulsionẽ, aut coxẽdicũ dolorem.

Dolores ad præcordia in febre voce intercepta, sine sudo

ροὶ γίνονται, καὶ βῆχες, καὶ πνεῦμα, καὶ λυγμοὶ γίνονται. λύεσθαι δὲ μελλόντων τούτων, πόνος ἰσχυρὸς ἰσχίων, ἢ σκελέων, ἢ πύου πτύσις, ἢ ὀφθαλμῶν στέρησις ἐπιγίνεται.

Οἷσι πόνοι ὑποχονδρίων, καρδίης, ἥπατος, τῶν περὶ ὀμφαλὸν μερῶν, αἵματος διαχωρήσαντος, σώζονται. μὴ διαχωρήσαντος δὲ, θνήσκουσιν.

Οἷσιν ὑποχόνδρια λαπαρὰ, πρόσωπον ἐῤῥωμένον, οὐ λύονται χωρὶς αἵματος ῥύσιος ἐκ ῥινῶν πολλοῦ, ἢ σπασμοῦ, ἢ ὀδύνης ἰσχίων.

Αἱ πρὸς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἀναύδῳ, ἀνιδρῷ

τὶ λυόμεναι, κακόν· τούτοισιν ἐς ἰσχία ἀλγήματα.

re ſoluti, malum eſt: his ad coxẽdices dolores fiunt.

Οἱ κατὰ κοιλίην ἐν πυρετῷ παλμοὶ ἐκστάσιας ποιέουσιν· αἱμοῤῥοίη δὲ φρικώδης.

Iuxta ventrẽ in febre palpitationes, mẽtis emotiones inducunt: ſanguinis autem fluxio horrorẽ efficit.

Αἱ ἐς ὑποχόνδρια ἐν πυρετῷ ὀδύναι ἀναΐσσουσαι, ἀνιδρωτὶ λυόμεναι, κακοήθεες. τούτοισιν ἐς ἰσχία ἀλγήματα, ἅμα πυρετῷ καυσώδει, κοιλίη καταῤῥαγεῖσα, ὀλέθριον.

Dolores in febre ad pręcordia exilientes, ſine ſudore ſoluti, maligni ſunt. his ad coxendices dolores fiunt, & ipſis vnà cum febre ardente, aluus deorſum erumpẽs, perniciosum eſt.

Οἱ περὶ ὀμφαλὸν πόνοι παλμώδεες, ἔχουσι μέν τι καὶ γνώμης παράφορον· περὶ κρίσιν δ' οὖν τούτοισι φλέγμα ἀλὶς συχνὸν σὺν πόνῳ διέρχεται.

Dolores circa vmbilicum palpitatorij, habẽt quidem & aliquid mentis emotoriũ: verùm circa iudicationẽ pituita his aceruati:n copioſo cũ dolore penetrat.

Μετὰ κοιλίης ὑπο-

Poſt aluũ ſuppreſ-

ſam, prӕcordia ſuble uata in tumorẽ, mala ſunt: maximè tabeſcentibus iam diu, & quibus alui humectantur.

στασιν ὑποχόνδρια μετέωρα, κακόν· μάλιστα δὲ τοῖσι φθινώδεσι τῶν μακρῶν, καὶ οἷσι κοιλίαι ὑγραίνονται.

Anxietatem in prӕcordio ſentientibus, tumores circa aurẽ oborti, ipſos occidũt.

Τοῖσιν ἀλυσμώδεσιν ἐν ὑποχονδρίῳ τὰ παρ' οὖς ἐπαρθέντα, κτείνει.

Durities circa ventrem cum dolore in febrientibus cũ horrore, cibum auerſantibus, ſi aluo inſuper parũ humectata, purgationẽ non faciãt, ad ſuppurationẽ peruenient.

Τὰ κατὰ κοιλίην σκληρύσματα μετὰ πόνου, πυρετοῖσι φρικώδεσιν, ἀποσίτοισι, σμικρὰ ἐφυγραινομένης· κάθαρσιν οὐ διδόντα, ἐς ἐμπύησιν ἥξει.

Dolor ſupra vmbilicum, & lumborum dolor, ſi medicamentis non ſoluantur, in hydropem ſiccũ deſinunt.

Ὑπὲρ ὀμφαλὸν πόνος, καὶ ὀσφύος ἄλγημα, φαρμακείῃ μὴ λυόμενα, ἐς ὑδρωπιῶδες ξηρὸν ἀποτελευτᾷ.

Dolores ex lumbis diuturniores, qui

Τὰ δὲ ἐξ ὀσφύος ἀλγήματα χρονιώτερα,

πυρετῷ, παροξυνόμενα τριταιογενῶς, ποιέει τὰ θρομβώδεα αἵματα διαχωρέειν.

febre tertianæ generis modo exacerbantur, grumoſum ſanguinem egerere faciunt.

Τὰ ἐν ὀσφυῒ ἀλγήματα, αἱμοῤῥοϊκά.

Dolores in lumbis, ſanguinis fluxioné inducunt.

Αἱ ἐξ ὀσφύος ἀλγήματος αἱμόῤῥοιαι, λαῦραι.

Ex lumború dolore ſanguinis fluxiones largæ fiunt.

Οἷσιν ἐξ ὀσφύος ἀλγήματος, ἀναδρομὴ ἐς κεφαλὴν, καὶ χεῖρες ναρκώδεες, καὶ καρδιαλγικὰ, καὶ ἠχώδεα, αἱμοῤῥοϊκὰ λάβρως. καὶ κοιλίαι καταῤῥήγνυνται τούτοισι, καὶ γνῶμαι ταραχώδεες ἐπιπολύ.

Quibus ex lumborum dolore, recurſus ad caput, & manus torpidæ, & oris vétriculi dolores, & aurium ſonitus, his ſanguis largè profluet. ſed & alui his deorſum erumpunt, & mens turbata eſt vt plurimùm.

Αἱ ἐκ νώτου ἀλγήματος ἀῤῥωστίης ἀρχαὶ, δύσκολοι.

Ex dorſi dolore ægritudinis principia, difficilia ſunt.

Ἐν ὀσφύος ἀλγήματι συντόνῳ, καὶ ὑπο-

In lumborum dolore pertinaci, & am

pliore alui ſubductione, à veratro vomere ſpumoſa multa, prodeſt.

φορῇ πλέονι, ἀπ' ἐλλεβόρου ἐμέσαι ἀφρώδεα συχνὰ, ὠφελεῖ.

Spinæ diſtortionẽ ac ſpirandi difficultatem, ſanguinis fluxio ſoluit.

Ῥάχιος διαστροφὴν καὶ δύσπνοιαν, αἵματος ῥύσις λύει.

In lumbis dolentibus oris ventriculi dolores inſuper accedentes, ſigna ſanguinis fluxionis ſunt, etiam prægreſſæ.

Ἐν ὀσφύϊ ἐπωδυνῷ καρδιαλγικὰ προσελθόντα, σημεῖα αἱμοῤῥοώδη, ἢ καὶ προγεγενημένα.

Affectiones ex lũbis ad collum & caput trãſeuntes, leuis ſiderationis modo reſoluentes, conuulſoriæ, mentis emotoriæ ſunt. num tales etiam ſoluuntur conuulſionibus? aut talium alui ægrotant per eadẽ prodeũtia?

Τὰ ἐξ ὀσφύος ἐς τράχηλον καὶ κεφαλὴν ἀναδιδόντα, παραλύοντα παραπληκτικὸν τρόπον, σπασμώδεα, παρακρουστικά. ἆρα καὶ λύεται τὰ τοιαῦτα σπασμοῖσιν; ἢ τῶν τοιούτων κοιλίαι νοσέουσι διὰ τῶν αὐτῶν ἰόντων;

Ex lumborũ doloris recurſu, oculorũ

Ἐξ ὀσφύος ἀναδρομῆς πόνου, ὀφθαλμῶν

ἴλλωσις, κακόν.

diſtortio, malum.

Πόνος ἐς στῆθος ἰδρυνθεὶς νωθρότητι, κακὸν τῶν πυρετῶν. οὗτοι ὀξέως ἀπόλλυνται.

Dolor in pectus firmatus torpore, malus in febre eſt. hi repentè pereunt.

Ἐξ ὀσφύος ἀλγήματος ἀναδρομαὶ ἐς καρδίην πυρετώδεες, φρικώδεες, αἱ ἐμέοντες λεπτὰ ὑδατώδεα, παρενεχθέντες, ἄφωνοι, ἐμέσαντες μέλανα, τελευτῶσι.

Ex lumborum dolore recurſiones ad os ventriculi, febriculoſæ, horrorem inducentes: ſic affecti re-uomentes tenuia aquoſa, mente moti, voce deſtituti, nigrorum vomitu facto, moriuntur.

Τὰ κατ' ὀσφὺν καὶ τὸ λεπτὸν χρόνια ἀλγήματα, καὶ πρὸς ὑποχόνδρια πόνοι, ἀπόσιτοι ἅμα πυρετῷ, τούτοισιν ἐς κεφαλὴν ἄλγημα σύντονον ἐλθὸν, κτείνει ὀξέως τρόπον σπασμώδεα.

Diuturni circa lũbos, & tenue inteſtinum dolores, & ad præcordia dolores, ſi ęgri cibos auerſentur vnà cũ febre, his dolor intentus ad caput progreſſus, repètè ipſos occidit conuulſorio modo.

Οἷσιν ὀσφύος ἄλγημα, οὗτοι κακοί.

Quibus lumbi dolent, hi male habẽt.

num his tremores fiunt, & circuli rubicundi in tibijs in rigore? nũ lũbos dolẽtibus, cibos faſtidiẽtibus, nõ vomẽtibꝰ, modicè ferociter mẽte motis, ſpes eſt nigrã proditura eſſe?

ἆρα τούτοισι τρομώδεα γίνεται καὶ φωΐδες ἐν ῥίγει; ἆρα τοῖς ὀσφυαλγέσιν, ἀσώδεσιν, ἀνεμέτοισιν, ὀλίγα θρασέως παρακρούσασιν, ἐλπὶς μέλαινα διελθεῖν;

Lumborum dolor in ventriculi os dolente, cum exſcreatione violenta, habet quid conuulſorium.

Ὀσφύος πόνος καρδιαλγικῶν, μετ' ἀναχρέμψιος βιαίης, ἔχει τι σπασμῶδες.

Rigor vnà cum iudicatione aliquatenus horrendus eſt.

Ὑπόδεινον ἅμα κρίσει ῥῖγος.

Lumborum dolor ſine cauſa manifeſta ſæpe impetens, maligni morbi ſignũ eſt.

Ὀσφύος ἄλγημα, ἄνευ προφάσιος πυκνὰ ἐπιφοιτέον, κακοήθεος ἀῤῥωστίης σημεῖον.

Lumborum dolor cum ſopore anxioſo, malus eſt.

Ὀσφύος ἄλγημα μετὰ κώματος ἀσώδεος, πονηρόν.

Lumborum diſtentio ex muliebrium multitudine, ad ſup-

Ὀσφύος σύντασις ἐκ γυναικείων πλή-

θεος, ἐκπυητικόν· καὶ τὰ ποικίλως ἰόντα γλίσχρα, δυσώδεα, πνιγώδη ἐπὶ τοῖσι προειρημένοισιν, ἐκπυητικόν. οἶμαι δὲ καὶ παραφρονέειν τι τὰς τοιαύτας.

purationem tendit. & variè prodeuntes viſcoſi, graueolētes, ſtrangulatorij menſes ex prædictis, ad ſuppurationem tendūt. arbitror autem tales etiam aliquantum delirare.

Οἷσιν ὀσφύος ἄλγημα καὶ πλευροῦ ἄνευ προφάσιος, ἰκτεριώδεες γίνονται.

Quibus lumborū dolor, & lateris ſine cauſa manifeſta, hi regium morbum incurrunt.

Αἱ ἐν κρισίμοισιν ἐκ τῶν αἱμοῤῥαγιῶν περιψύξιες, νεανικαὶ, κάκισται. τὸ δ' αὖ ἄπαλιν αἱμοῤῥαγέειν, πονηρὸν, οἷον ἐπὶ σπληνὶ μεγάλῳ ἐκ τῶν δεξιῶν· κατὰ ὑποχόνδρια ὡσαύτως.

Perfrigeratiões ex ſanguinis eruptionibus in diebus iudicatorijs, vehementes, peſsimæ ſunt. vice verſa ſanguinē erūpere, malum eſt, velut in ſplene magno ex dextris: & circa præcordia eodē modo ſe res habet.

Τὰ αἱμοῤῥαγοῦντα, ἐπιῤῥιγοῦντα σώμα-

Vulnera ſanguinē fundētia, inſuper ri-

gentia, maligna. sic affecti loquentes latenter moriuntur.

Affectiones quę v. die sanguinem largè fundunt, sexta insuper riguerũt, septima perfrigeratæ fuerunt, & repentè recalefactæ, in his alui malè afficiuntur.

Post sanguinis eruptionem, nigrorum per aluũ egestio, mala. mala autem sunt & rubicunda valde & æruginosa. quarta die tales fiũt sanguinis eruptiones. soporosi ex talibus conuulsi moriuntur, nigris prægressis, & vẽtre tumefacto.

Post sanguinis eruptiones & nigrorum egestiones, in acuto surditas, malum. san

τα, κακοήθεα. διαλεγόμενοι λαθραίως τελευτῶσι.

Τὰ πεμπταῖα αἱμοῤῥαγοῦντα λάβρως, ἕκτῃ ἐπιῤῥιγώσαντα, ἑβδόμῃ περιψυχθέντα, ἀναθερμανθέντα ὀξέως, τούτοισι κοιλίαι πονηρεύονται.

Μεθ' αἱμοῤῥαγίην, μελαίνων διαχώρησις, κακόν. πονηρὸν δὲ καὶ τὰ ἐξέρυθρα ἰώδεα. τεταρταίοισιν αἱ τοιαῦται αἱμοῤῥαγίαι. κωματώδεες ἐκ τοιούτων σπασθέντες θνήσκουσι, μελαίνων προδιελθόντων, καὶ κοιλίης ἐπαρθείσης.

Μεθ' αἱμοῤῥοίας καὶ μελαίνων διαχωρήσιας, ἐν ὀξεῖ κώφωσις, κακόν. αἵμα-

τος

τος διαχώρησις τούτοισιν ὀλέθριον· κώφωσις δὲ λύει.

guinis egeſtio his perniciosa: ſurditas autem ſoluit.

Οἷσιν αἱμοῤῥαγίαι πλείους, προϊόντος χρόνου κοιλίαι πονηρεύονται, ἢν μὴ οὖρον πέπον ἔλθῃ. ἆρά γε τὸ ὑδατῶδες οὖρον τοιοῦτόν τι σημαίνει;

Quibus ſanguinis eruptiones plures, his tẽporis progreſſu alui malè afficiũtur, niſi vrina concocta prodierit. nũ & aquoſa vrina tale quid ſignificat?

Οἷσιν ἐκ τῶν αἱμοῤῥαγίη λάβρως πυκνῇ, μετὰ μελαίνων συχνὴ διαχώρησις, ἐπιστάσης δὲ αἱμοῤῥόοι, οὗτοι κοιλίας ὀδυνώδεες. ἅμα δὲ περὶ φύσησιν, εὔφοροι. ἆρά οἱ τοιοῦτοι ἐφιδροῦσι πολλοῖσι ψυχροῖσι; τὸ ἀνατεταραγμένον οὖρον ἐν τούτοισιν, οὐ πονηρὸν, οὐδὲ τὸ ἐφιστάμενον γονοειδές· ἐπιπολὺ δὲ οὗτοι

Quibus ex ſanguinis eruptione larga frequenti, multa fit alui cum nigris egeſtio, ea autẽ ſuppreſſa, ſanguinis fluxiones, hi aluũ dolent. vnà verò cum quibuſdam flatibus, facilè tolerant. num tales multis frigidis ſudoribus exudãt? conturbata in his vrina, mala non eſt, neque id quod genituræ ſimile in ipſa reſidet: verùm plerunque hi

aquosa mingunt.

ὑδατώδεα οὐρέουσιν.

Quibus de narib⁹ in surditate ac torpore pauca destillant, habẽt quid difficultatis: vomitus his cõducit, & alui perturbatio.

Οἷσιν ἐκ ῥινῶν ἐπὶ κωφώσει καὶ νωθρότητι μικρὰ ἀποστάζει, ἔχει τι δύσκολον· ἔμετος τούτοισι συμφέρει, καὶ κοιλίης ταραχή.

Magnæ in principijs sanguinis eruptiones, circa refectionem aluos humectant.

Αἱ ἐν ἀρχῇσι μεγάλαι αἱμοῤῥαγίαι, περὶ ἀνακομιδὴν κοιλίας καθυγραίνουσι.

Fluxiones ex narib⁹ largæ per vim suppressæ, quãdoque cõuulsionẽ prouocant: venæ sectio soluit.

Τὰ ἐκ ῥινῶν λάβρα βίῃ ἀποληφθέντα, ἔστιν ὅτε σπασμὸν ἐπικαλεῖται· φλεβοτομίη λύει.

Vndecima die orientes sanguinis stillationes, difficiles sunt, tum aliàs, tum si bis superstillauerint, & rursus stillauerint.

Αἱ ἐνδεκαταῖαι στάξιες, δύσκολοι, ἄλλως τε κἢν δὶς ἐπιστάξῃ, καὶ ἢν ἐπιστάξῃ.

In sanguinis fluxione multa, aut sin-

Ἐπὶ αἵματος ῥύσει πολλῇ, ἢ λυγ-

μὸς, ἢ σπασμὸς, κακόν.

Τοῖσιν ἕως ἐτῶν ἑϐδόμων δύναμιν μετ' ἀχροίης, καὶ πνεῦμα ἁλιζόμενον ἐν τῇσιν ὁδοῖσι, καὶ γῆς ἐπιθυμίη, αἵματος φθορὴν καὶ ἔκλυσιν σημαίνει.

Ἐν τοῖσι μακροῖσι τὰ μικρὰ ἐπιφαινόμενα αἱμοῤῥοώδεα, ὀλέθρια.

Τὰ σκοτώδεα ἐξ ἀρχῆς αἱμοῤῥοίη ῥινὸς λύει.

Τὰ ἐκ ῥινῶν σμικροῖς ἱδρῶσι περιψυχόμενα, κακοήθεα.

Αἵματος ἀφαίρεσις ἐν καταψύξει νενωθρωμένῃ, κακόν.

Ὅσοι κοιλίης ἐπιστάσης αἱμοῤῥέουσι, καὶ ἐπιῤῥεῖ

gultus, aut cõuulſio, mala eſt.

In his qui decolores vſque ad ſeptem annos vires recolligũt,& ſpiritus in vijs aceruatus,& terrę cõcupiſcẽtia,ſanguinis corruptionẽ ac exolutionem ſignificat.

In morbis longis paruæ comparentes ſanguinis fluxiones, pernicioſæ ſunt.

Vertigines ab initio ſanguinis nariũ fluxio ſoluit.

Ex naribus erũpente ſanguine,cum exiguis ſudorib9 pfrigeſcẽtia,maligna ſunt.

Sanguinis detractio in pfrigeratione torpida,mala eſt.

Qui aluo ſuppreſſa ſanguinem effundunt,& vnà cum ſan

guinis effusione in-
super rigent, his al-
uum velut ex intesti
norum læuore lubri
cam hæc faciũt, itém
que duram, & asca-
ridas, aut ambo.

Sanguinis fluxio-
nes quę statis tempo
ribus fiunt, siticulo-
sę, si sanguinem non
effuderint, comitia-
lis morbi mortẽ in-
ducunt.

Ex hæmorrhoide
parum apparẽte, ver
tigines obortæ, par-
uam ac modicã fide
rationem significãt.
soluit venæ sectio. &
quicquid hoc modo
apparuerit, mali ali-
quid significat.

Palpitantes per to
tum, num etiã voce
ĩtercepta moriũtur?

Tremores cõuul-

χοῦσιν αἷμα τῷ αἱμοῤ-
ῥοεῖν, τούτοισι κοιλίην
λειεντεριώδεα ποιέει,
καὶ ἐπίσκληρον, καὶ ἀσκα-
ρίδας, ἢ ἀμφότερα.

Τὰ τεταγμένοισι
χρόνοισιν αἱμοῤῥοώ-
δεα, διψώδεα, μὴ αἱ-
μοῤῥαγήσαντα, ἐπι-
ληπτικῶς θνήσκει.

Ἐξ αἱμοῤῥοΐδος ὅ-
σον ἐπιφανείσης, σκο-
τώδεα ἐλθόντα, παρα-
πληγικὸν μικρὸν καὶ
ἐπ' ὀλίγον σημαίνει.
λύει φλεβοτομίη. καὶ
πᾶν τὸ οὕτως ἐπιφαι-
νόμενον, κακόν τι ση-
μαίνει.

Οἱ παλμώδεες δι'
ὅλου, ἆρα καὶ ἄφωνοι
τελευτῶσι;

Τὰ τρομώδεα απα

σπασμώδεα γινόμενα ἐν ἱδρῶσι, παλινόστροφα. τούτοισι κρίσις ἐπιῤῥιγώσασιν. ἐπιῤῥιγοῦσι δ' οὗτοι τὴν κοιλίην καύματι προκληθέντες. ὕπνος πολὺς ἐν τούτοισι σπασμῶδες, καὶ τὰ ἐς μέτωπον βάρεα, καὶ οὔρησις δυσκολαίνουσα.

Οἱ ἐν ὑστερικοῖσιν ἄπειροι σπασμοὶ, εὐχερεῖς.

Τὰ σπασμώδεα ἀνιδρῶντι πτύελα παραῤῥέοντα πυρετώδει ἐόντι, εὐήθεα. τούτοισι ἔτι κοιλίαι τι καθυγραίνονται. τάχα δέ τι καὶ ἐς ἄρθρα ἀποστήσεται.

Οἷσιν ἐν σπασμώδεσιν ὀφθαλμοὶ ἐκλαμπρύουσιν ἀτενὲς, οὔτε παρ' ἑωυτοῖσιν εἰσὶ, διανοσέουσί τε μακροτέρως.

ſorij naſcentes in ſudoribus, reuerti ſolent. iudicatio his fit vbi ſuperriguerint. ſuperrigẽt autem hi ardore circa vẽtrem prouocati. ſomnus multus in his cõuulſorius, & ad frontem grauitates, & mictio difficilis.

Conuulſiones antea non cognitæ in ſtrangulatis ab vtero, faciles ſunt.

Conuulſoria ſine ſudore ſputa defluentia in febriẽte, leuia ſunt: his inſuper alui aliquantũ humectantur. fortaſsis autẽ & ad articulos aliquid abſcedet.

Quibus conuulſis oculi intẽte relucẽt, nec apud ſeipſos sũt, & diutius ægrotant.

Quæ conuulſorio modo exacerbantur cum ſtuporis detentione, abſceſſus iuxta aurem excitant.

Τὰ σπασμώδεα τρόπον παροξυνόμενα κατόχως, τὰ παρ' οὖς ἐπαίρει.

Tremulis, anxioſis, parui iuxta aurẽ tumores conuulſionem ſignificant, aluo male affecta.

Τρομώδεσιν, ἀσώδεσι μικρὰ, τὰ παρ' οὖς ἐπάρματα σπασμὸν σημαίνει κοιλίης πονηρευομένης.

Cõuulſiones & tetanicas diſtentiones febris accedẽs ſoluit.

Τὰ σπασμώδεα, καὶ τετανώδεα πυρετὸς ἐπιγενόμενος λύει.

Conuulſio ex vulnere, letalis eſt.

Σπασμὸς ἐπὶ τρώματι, θανάσιμον.

Cõuulſio in febre orta pernicioſa eſt. minimè verò pueris.

Σπασμὸς ἐπὶ πυρετῷ γενόμενος, ὀλέθριον. ἥκιστα δὲ παιδίοισιν.

Seniores ſeptẽ annis in febre nõ corripiuntur cõuulſione. ſin minus, pernicioſum eſt.

Οἱ πρεσβύτεροι ἑπτὰ ἐτέων ἐν πυρετῷ οὐχ ἁλίσκονται ὑπὸ σπασμοῦ· εἰ δὲ μὴ, ὀλέθριον.

Conuulſionẽ ſoluit febris ſuperueniens acuta, quæ prius non fuit. ſi verò fuit pri⁹,

Σπασμοῦ λυτικὸν, πυρετὸς ἐπιγενόμενος ὀξὺς μὴ πρότερον γεγονώς. εἰ δὲ εἴη πρότερον γεγονὼς,

παροξυνθεὶς· ὠφελέει δὲ καὶ οὔρου διέξοδος ὑαλοειδὴς πολλὴ, καὶ ῥύσις κοιλίης, καὶ ὕπνοι. τῶν δὲ ἐξαπίνης σπασμῶν λυτικὸν, πυρετὸς, κοιλίης ῥύσις.

Εν τοῖσι σπασμοῖσιν ἀναυδίη ἐπὶ πολὺ, κακόν. τὸ δὲ ἐπὶ μικρὸν, ἢ τοι γλώσσης ἀποπληξίην ἢ βραχίονος, καὶ τῶν ἐπὶ δεξιὰ σημαίνει. λύεται δὲ οὔροισιν ἐξαπίνης ἐλθοῦσιν πολλοῖσιν ἀθρόοισιν.

Ιδρῶτες δὲ, οἱ μὲν κατὰ μικρὸν, ὠφελέουσιν· οἱ δὲ ἀθρόοι, καὶ αἱ τῶν αἱμάτων ἀφαιρέσιες αἱ ἀθρόαι, βλάπτουσιν.

Εν τοῖσι τετανοῖσι καὶ ὀπισθοτόνοισι γένυες λυόμεναι, θανάσιμον. θανάσιμον δὲ

iam exacerbata. prodeſt & vrinæ tranſitus vitri ſpeciem referens copioſus, & alui fluxus, & ſomni. at repentinas cõuulſiones ſoluit febris, alui fluxus.

In conuulſionibus vocis ĩterceptio diu durans, mala eſt: parua autem aut linguę ſiderationẽ, aut brachij, aut dextrarum partiũ ſignificat. ſoluitur autem vrinis multis aceruatis derepẽtè prodeuntib⁹.

Sudores autẽ, paulatim orientes proſunt: aceruati verò, itémq; ſanguinis detractiones aceruatæ lædunt.

In diſtẽtionib⁹ & ante & retro oriẽtib⁹, & ĩ tergũ ſolũ cõtingẽtibus, ſi maxillæ ſoluãtur letale eſt. letale eſt

etiam ſudare in diſtẽtione in dorſum naſcente, & corpus diſſolui, & in eadẽ affectione reuomere per nares, aut clamare, aut nugari, ſi ab initio vox intercepta fuit. in poſterã enim diẽ mortẽ ſignificat.

καὶ ἱδροῦν ἐν ὀπισθοτόνῳ, καὶ τὸ σῶμα διαλύεσθαι, καὶ ἀνεμεῖν ὀπισθοτόνῳ διὰ ῥινῶν, ἢ ἐξ ἀρχῆς ἄφωνον ἐόντα βοᾶν, ἢ φλυηρεῖν. ἐς δὲ τὴν ὑστεραίην, θάνατον σημαίνει.

Febriles ĩ dorſum diſtẽtiones, vrinæ geniturę ſimiles ſoluũt.

Πυρετώδεα ὀπισθοτονώδεα, γονοειδέες οὐρήσιες λύουσι.

Anginæ quæ neq; in collo, neq; in faucibus, quicquã conſpicuum faciunt, verùm ſuffocationem vehementem ac ſpirandi difficultatem inducunt, eadem die & tertia occidunt.

Τὰ κυναγχικὰ τὰ μήτε ἐν τῷ τραχήλῳ, μήτε ἐν τῇ φάρυγγι, μηδὲν ἔνδηλον ποιέοντα, πνιγμὸν δὲ νεανικὸν καὶ δύσπνοιαν παρέχοντα, αὐθημερὸς καὶ τριταίους κτείνει.

Quæ verò tumores & roborẽ ĩ collo accipiũt, ĩ cęteris quidem cõſimiles ſunt, verùm diuturniores.

Τὰ δὲ ἐπάρματα καὶ ἔρευθος ἐν τῷ τραχήλῳ λαμβάνοντα, τὰ μὲν λοιπὰ παραπλήσια, χρονιώτερα δέ.

ὅσοισι δὲ συνεξερυθείη ἥτε φάρυγξ, καὶ ὁ αὐχὴν, καὶ τὸ στῆθος, χρονιώτερα, καὶ μάλιστα ἐξ αὐτῶν σώζονται, ἢν μὴ παλινδρομέῃ τὰ ἐρυθήματα. ἢν δὲ ἀφανίζηται, μήτε φύματος συστραφέντος ἔξω, μήτε πύου ἀναχρεμπτομένου πρηέως καὶ ἀπόνως, μήτε ἐν ἡμέρῃσι κρισίμῃσιν, ὀλέθρια γίνεται. ἆρά γε ἔμπυοι γίνονται; ἀσφαλέστατον δὲ τὸ ἔρευθος καὶ τὰς ἀποστάσιας ὅτι μάλιστα ἔξω τρέπεσθαι.

Ἐρυσιπέλας δὲ, ἔξωθεν μὲν ἐπιγίνεσθαι, χρήσιμον· εἴσω δὲ τρέπεσθαι, θανάσιμον. τρέπεται δὲ, ὅταν ἀφανιζομένου τοῦ ἐρυθήματος βαρύνηται τὸ στῆθος καὶ δυσπνοώ-

quibuſcunq; verò & fauces, & ceruix, & pectus ſimul rubuerĩt, diuturniores sũt, & ex ipſis maximè ſeruantur, ſi non recurrerint rubores. ſi verò diſsipentur, neque tuberculo foras cõuerſo ac collecto, neq; pure leniter ac ſine dolore exſcreato, neq; in diebus iudicatorijs, pernicioſæ ſunt. num etiam ſuppurati fiunt? ſecuriſsimũ autem eſt ruborem & abſceſſus q̃ maximè foras verti.

Eryſipelas verò, foris quidem accedere, cõmodum eſt: intro autẽ conuerti, letale. conuertitur autem intro, quũ diſparente rubore pectus grauatur, & diffici-

lem ſpirationem habet.

τερος γίνεται.

Quibus verò anginæ ad pulmonem vertuntur, partim in ſeptẽ diebus pereũt: partim euadẽtes, ſuppurati fiũt, ſi nõ eductio pituitoſa ſurſum ipſis fiat.

Οἷς δὲ κυνάγχη ἐς τὸν πλεύμονα τρέπεται, οἱ μὲν ἐν τῇσιν ἑπτὰ ἡμέρῃσιν ἀπόλλυνται· οἱ δὲ διαφυγόντες, ἔμπυοι γίνονται, μὴ γινομένης αὐτοῖς ἀναγωγῆς φλεγματώδεος.

Quibus per pulſationis venarum vehementiam, ſtercus derepẽtè per aluum ſecedit, letale eſt.

Οἷσι διὰ σφοδρότητος σφυγμοῦ, κόπριον ἐξαπίνης διαχωρέει, θανάσιμον.

In anginis ſputa gracilium ſubarida, malum.

Ἐν τοῖσι κυναγχικοῖσι τὰ ὑπόξηρα πτύσματα ἰσχνῶν, κακόν.

Anginoſi ĩ linguis tumores, citra ſigna diſparentes, pernicioſi: & dolores diſparentes citra manifeſtam cauſam, pernicioſi ſunt.

Τὰ κυναγχικὰ ἐν γλώσσαις οἰδήματα, ἀσήμως ἀφανιζόμενα, ὀλέθρια· καὶ τὰ ἀλγήματα ἀφανιζόμενα χωρὶς προφάσιος, ὀλέθρια.

In anginis qui non breui concocta ex-

Ἐν τοῖσι κυναγχικοῖσιν οἱ μὴ ταχὺ ἀναπτύοντες πέπονα,

ὀλέθριοι.

Ἐν κυνάγχῃ ἀσήμως εἰς κεφαλὴν ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια.

Ἐν κυνάγχῃ ἀσήμως ἐς σκέλη ἀλγήματα μετὰ πυρετοῦ, ὀλέθρια.

Ἐκ κυναγχικῶν ἀκρίτως ὑποχονδρίου ἄλγημα, μετὰ ἀκρασίης καὶ νωθρότητος γινόμενον, κτείνει λαθραίως, εἰ καὶ πάνυ δοκοῖεν ἐπιεικῶς ἔχειν.

Ἐκ κυναγχικῶν ἀσήμως ἰσχναυθέντων ἐς στῆθος ἄλγημα καὶ ἐς κοιλίην ἐλθὸν σύντονον, ποιέει πυώδεα διαχωρέειν, ἄλλως δὲ λυομένου τὸ τοιοῦτον.

Ἐκ κυναγχικῶν πάντα ὀλέθρια, ὅσα μὴ ἔκδηλον ἐποίησεν ἄλγημα. ἀτὰρ καὶ ἐς σκέλεα

ſpuunt, perniciose habent.

In angina dolores ad caput citra notas cũ febre, perniciosi.

In angina dolores ad crura, citra notas cũ febre, perniciosi.

Ex anginis citra iudicationem præcordij dolor, cũ impotẽtia ac torpore fact⁹, occidit occultè, etiã si valde mansuetè se habere putent.

Ex anginosis citra notas attenuatis, dolor ad pectus & ad aluum progressus concitatus, pus egerere facit, aliàs autẽ eius q̃ exoluitur tale est.

In anginis omnia perniciosa sunt, quæ nõ manifestũ dolorẽ faciũt. sed & ad crura

dolores diuturni procedunt, & difficulter ſuppurantur.

ἀλγήματα χρόνια φοιτᾷ, καὶ ἐκπυοῦται δυσκόλως.

Ex angina ſputa viſcoſa, craſſa, valde alba, quæ violēter educuntur, mala ſunt. & omnis eiuſmodi maturatio, mala. purgatio multa deorſum, tales leuis ſiderationis modo perimit.

Τὰ ἐκ κυνάγχης πτύαλα γλίσχρα, παχέα, ἔκλευκα, βιαίως ἀναγόμενα, κακόν. ἢ πᾶς ὁ τοιοῦτος πεπασμὸς, κακόν. κάθαρσις πολλὴ κάτω, τοὺς τοιούτους παραπληκτικῶς ἀπόλλυσιν.

Ex angina ſubarida frequentia ſputa, cum tuſſi, lateris dolorē inducentia, perniciosa: itémque ea quæ inter potādum per tuſsim ſubemergunt, & deglutio violenta, mala.

Ἐκ κυνάγχης ὑπόξηρα πυκνὰ πτύελα, βηχώδεα, πλευροῦ ὀδυνώδεα, ὀλέθρια. καὶ τὰ ἐν τοῖσι ποτοῖσιν ὑποβήσσοντα, καὶ καταπόσις βιαία, πονηρόν.

Pleuritici quib⁹ in principio ſputationes penitus purulentę ſunt, tertia die moriuntur, aut quinta. ſi verò has effuge-

Τῶν πλευριτικῶν οἷσιν ἐν ἀρχῇ πάμπυοι αἱ πτύσιες, τριταῖοι θνήσκουσιν, ἢ πεμπταῖοι. φυγόντες δὲ

ταύτας, μὴ πολὺ ῥᾷον ἔχοντες, ζ. ἢ θ. ἢ ια. ἄρχονται ἐμπυοῦσθαι.

Οἷσι δὲ ἄνω ὠτὸς ἔρευθος, τῶν πλευριτικῶν καὶ ὁμοίως θερμαίνονται, καὶ κοιλίη ταράσσεται χολώδεα ἢ δυσώδεα, εἰκοσταῖοι καὶ τεσσαρακοσταῖοι κινδυνεύουσι. φυγόντες δὲ ταύτας, σώζονται.

Αἱ ξηραὶ τῶν πλευριτίδων καὶ ἄπτυστοι, χαλεπώταται· φοβεραὶ δὲ ἐν οἷσιν ἄνω τὰ ἀλγήματα.

Αἱ ἄνευ σπασμάτων πλευρίτιδες χαλεπώτεραι τῶν μετὰ σπασμάτων.

Τῶν πλευριτικῶν οἷσιν ἐν ἀρχῇ γλῶσσα χολώδης γίνεται, ἑβ.

rint, non multo melius habentes, septima, aut nona, aut vndecima suppurari incipiunt.

Quibus supra aurem rubor, & similiter veluti pleuritici calescunt, & aluus biliosis ac graueolentibus exturbatur, hi vigesima ac quadragesima die periclitantur. vbi verò has effugerint, seruãtur.

Pleuritides siccæ ac sine sputo, difficillimæ sunt. horrendæ quoq; hæ in quibus dolores superne sũt.

Pleuritides sine cõuulsionibus grauiores sunt his quę cum cõuulsionibus fiunt.

Quibus pleuriticis in principio lingua biliosa fit, hi septima

die iudicãtur. quib⁹ autẽ tertia aut quarta die, circa nonam.

Bulla subliuida si fiat in lingua in principio, qualis est ferri tincti in oleum, difficilior solutio contingit: & iudicatio quidem ad decimũquartum diem peruenit: sanguinem autẽ plerunque spuunt.

Sputum in pleuriticis, tertia die maturari ac exspui incipiens, citiores solutiones facit: verùm posterius, tardiores.

In doloribus pleuriticorum, commodum est aluum molliri, sputa colorari, strepitus in pectore non fieri, vrinam bene procedere. his autem contraria diffici

δομαῖοι κρίνονται. οἷσι δὲ γ. ἢ δ. περὶ τὴν θ.

Πομφόλυγος δὲ ὑποπελίου γινομένης ὑπὸ τῆς γλώσσης ἐν ἀρχῇ, οἵη σιδηρίου βαφέντος ἐς ἔλαιον, χαλεπωτέρη ἡ ἀπόλυσις γίνεται· καὶ ἡ μὲν κρίσις ἐς τὴν ιδ. ἀφικνεῖται· αἷμα δὲ ὡς ἐπὶ τὸ πολὺ πτύουσι.

Πτύαλον δ' ἐν τῇσι πλευρίτισι, τρίτον μὲν ἀρχόμενον πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους ποιέει τὰς ἀπολύσιας· ὕστερον δὲ, βραδυτέρας.

Τὰ δὲ ἀλγήματα τοῖσι πλευριτικοῖσι, χρήσιμον κοιλίην μαλάσσεσθαι, πτύαλα χρωματίζεσθαι, ψόφους ἐν τῷ στήθει μὴ γίνεσθαι, τὸ οὖρον εὐοδεῖν· τὰ δὲ τούτων ἐναντία δυσχε

ρέα, καὶ πτύαλον γλυκαινόμενον.

Αἱ δὲ χολώδεες ἅμα καὶ αἱματώδεες πλευρίτιδες, ὡς ἐπὶ τὸ πολὺ κρίνονται ἐναταῖαι, ἢ ἐνδεκαταῖαι, καὶ μάλιστα ὑγιάζονται. οἷσι δὲ τῶν πλευριτικῶν ἐν ἀρχῇ μὲν οἱ πόνοι μαλθακοὶ, ε. δὲ ἢ ς. παροξύνονται, μᾶλλον πρὸς τὰς ιβ. ἀφικνέονται, καὶ οὐ πάνυ σώζονται. κινδυνεύουσι δὲ μάλιστα ἑβδομαῖοι, καὶ δωδεκαταῖοι. τὰς δὲ δὶς ἑπτὰ φυγόντες, σώζονται.

Ὅσοισι τῶν πλευριτικῶν ψόφος τοῦ πτυάλου πολὺς ἐν τῷ στήθει, καὶ πρόσωπον κατηφὲς, καὶ ὀφθαλμὸς ἰκτεριώδης, καὶ ἀχλυώ-

lia ſunt: itémque ſputum dulce fieri.

Bilioſæ ſimul & ſanguineæ pleuritides, plerunque nona aut vndecima die iudicãtur, & maximè ſanãtur. quibus autem pleuriticis in principio quidem dolores molles ſunt, quinta verò aut ſexta die exacerbãtur, hi magis ad duodecimam perueniunt, & non valde ſeruantur. periclitantur autem maximè ſeptima die ac duodecima. vbi verò bis ſeptem dies effugerint, ſeruantur.

Quibꝰ pleuriticis ſtrepitus ſputi multꝰ in pectore eſt, & facies triſtis, & oculus morbi regij colore infectus, ac caligi-

noſus, hi pereunt.

Qui ex pleuritide ſuppurati fiũt, in quadraginta à ruptione diebus exſpuunt.

Sputum in omnibus pleuriticis ac peripneumonicis facilè ac cito exſpui conuenit, & flauum ſputo ammixtum eſſe. quòd verò lõgè poſt dolorẽ educitur flauum, aut non mixtum, & multã tuſsim inducẽs, malum eſt. Prauum autem penitus eſt flauũ meracum, & viſcoſum, & album, & rotũdum, & cum virore pallidum valde, & ſpumoſum, & liuidũ, & æruginoſum. peius autẽ aliquãto eſt id quod ita meracum eſt, vt nigrum appareat.

δης, ἀπόλλυνται.

Οἱ ἐκ πλευριτικοῦ ἔμπυοι γινόμενοι, ἐν τῇσι μ. ἡμέρῃσιν ἀναπτύουσιν ἀπὸ τῆς ῥήξιος.

Πτύαλον δὲ χρὴ πᾶσι τοῖσι πλευριτικοῖσι, καὶ περιπλευμονικοῖσι εὐπετέως τε καὶ ταχέως ἀναπτύεσθαι, μεμίχθαι τε τὸ ξανθὸν τῷ πτυάλῳ· τὸ δ' ὕστερον πολλῷ τῆς ὀδύνης ἀναγόμενον ξανθὸν, ἢ μὴ μεμιγμένον, καὶ πολλὴν βῆχα παρέχον, πονηρόν. πονηρὸν δὲ πάντως καὶ τὸ ξανθὸν ἄκρητον, καὶ τὸ γλίσχρον, καὶ λευκὸν, καὶ τὸ στρογγύλον, καὶ τὸ χλωρὸν σφόδρα, καὶ τὸ ἀφρῶδες, καὶ τὸ πελιῶδες, καὶ ἰῶδες. χεῖρον δέ τι τὸ οὕτως ἄκρητον, ὥστε μέλαν φαίνεσθαι.

αἵματι

αἵματι δὲ μὴ πολλῷ συμμεμιγμένον τὸ ξανθὸν, ἐν ἀρχῇ μὲν σωτήριον, ἑβδομαίῳ δ' ἢ παλαιοτέρῳ, ἧσσον ἀσφαλές. αἱματῶδες δὲ λίην, ἢ πέλιον εὐθέως ἐν ἀρχῇ, κινδυνῶδες. πονηρὰ δὲ καὶ τὰ ἀφρώδεα, καὶ τὰ ξανθὰ, καὶ μέλανα, καὶ ἰώδεα, καὶ ἰξώδεα, καὶ ὅσα ταχέως χρωματίζεται. τὰ δὲ μυξώδεα καὶ λιγνυώδεα, καὶ χρωματίζεται ταχέως, καὶ ἐστὶν ἀσφαλέστερα· τὰ δ' ἐντὸς πέμπτης ἐς πέψιν χρωματιζόμενα, βελτίω.

at ſanguine nõ multo permixtum flauũ, in principio quidem ſalutare eſt, ſeptima verò die aut poſterius, minus tutũ. ſanguineũ verò valde, aut liuidum ſtatim in principio, periculoſum eſt. praua sũt etiam ſputa ſpumoſa, & flaua, & nigra, & æruginoſa, ac viſcoſa, & quæcunque cito colorantur. at mucoſa ac fuliginoſa, & cito colorãtur, & ſecuriora ſunt: quę verò intra quintum diem ad coctionẽ colorãtur, meliora sũt.

Πᾶν δὲ πτύαλον μὴ λῦον τὴν ὀδύνην, πονηρόν· λῦον δὲ, χρήσιμον.

Omne porrò ſputũ non ſoluens dolorẽ, malum eſt, ſoluens autem, bonum.

Ὅσοι δὲ μετὰ τοῦ χολώδεος πυώδες

Quicunq; verò cũ bilioſo purulentum

educũt, aut ſeorſim, aut permixtum, plerũq; xiiij. die moriũtur, ſi nõ mali aut boni quippiã ex pręſcriptis ſuperueniat. Sin min⁹, ꝑ ratione, maximè autẽ his quib⁹ eiuſmodi pus ſeptima die incipit.

Bonũ verò eſt & in ijs & ĩ omnib⁹ circa pulmonẽ morbis, facilè ferre morbum, à dolore liberatũ eſſe, ſputũ facilè educere, bene ſpirare, & ſine ſiti eſſe, & totũ corp⁹ æqualiter caleſcere, ac molle eſſe. & ad hęc ſomnos, ſudores, vrinas, alui egeſtiões bonas eſſe: mala aũt ſunt ijs contraria. ſi quidem igitur omnia bona ad hoc ſputum acceſſerint, ſer-

ἀνάγουσιν, ἢ χωρὶς, ἢ μεμιγμένον, ὡς ἐπὶ τὸ πολὺ τεσσαρεσκαιδεκαταῖοι θνήσκουσιν, ἢν μήτι κακὸν ἢ ἀγαθὸν ἐπιγένηται τῶν προγεγραμμένων. εἰ δὲ μὴ, κατὰ λόγον. μάλιστα δὲ οἷσιν ἑβδομαίοισιν ἄρχεται τὸ τοιοῦτον πτύαλον.

Ἐστι δὲ ἀγαθὸν μὲν καὶ τούτοισι καὶ πᾶσι τοῖσι περὶ πλεύμονα, φέρειν ῥηϊδίως τὸ νόσημα, τῆς ὀδύνης ἀπηλλάχθαι, τὸ πτύαλον εὐπετέως ἀνάγειν, εὔπνοον εἶναι, καὶ ἄδιψον, τὸ σῶμα ἅπαν ὁμαλῶς θερμαίνεσθαι, καὶ μαλθακὸν εἶναι· καὶ πρὸς τοῖσιν ὕπνους, ἱδρῶτας, οὔρων διαχωρήσιν χρηστὴν γίνεσθαι· κακὰ δὲ τἀναντία τούτων. εἰ μὲν οὖν πάντα προσγένοιτο τῷ πτύσματι τούτῳ

τὰ χρήσιμα, σώζοιτ' ἄν· εἰ δὲ τὰ μὲν, τὰ δὲ μὴ, πλείους τῶν ιδ. βιώσας· τῶν δ' ἐναντίων σημείων ἐπιγινομένων, συντομώτερον.

Ὅσα δὲ τῶν ἀλγημάτων ἐν τοῖσι τόποισι τούτοισι μὴ παύσηται, μήτε πρὸς τὰς ἀναπτύσιας, μήτε πρὸς τὰς φλεβοτομίας τε καὶ διαίτας, ἐμπυοῦται.

Ὅσοισι δὲ ἐκ περιπλευμονίης ἀποστάσιες παρ' οὖς, ἢ ἐς τὰ κάτω γίνεται, καὶ ἐκπυοῦσί τε, καὶ ἐκσυριγγοῦνται· περιγίνονται δὲ, οἷσιν ἂν ὅ, τε πυρετὸς, καὶ ὁ πόνος παρακολουθῇ, καὶ τὸ πτύαλον χωρέῃ κατὰ λόγον· μηδὲ χολώδεες αἱ διαχωρήσιες, ἀν-

uari homo poterit. Si verò partim affue rint, partim non, nõ vltra xiiij. vita producta peribit. quòd si cõtraria signa accedant, citius etiam.

Quicunq; verò dolores in his locis nõ sedantur, neq; ad exspuitiones, neque ad venarũ sectiones, ac victus rationes, suppurantur.

Quibuscunq; autem ex peripneumonia abscessus circa aurem, aut ad infernas partes fiunt, suppurantur, ac fistulantur: superstites autem euadũt, quibus & febris, & dolor affuerit, & sputum pro ratione nõ prodierit: neque biliosæ alui egestiones, solu

túque faciles ac meracæ fiunt: neq; vrina crassa valde, & multã subsidentiam habens,& alia salutaria habuerint. fiunt autem, ad infernas quidẽ partes, his quibus circa præcordia inflãmatio fit: ad supernas verò, quibus præcordiũ molle & doloris exors fuerit, & vbi per tẽpus aliquod difficulter spirauerint, ac citra manifestam causam cessauerint.

λυτοί τε καὶ ἄκριτοι γίνονται, μηδὲ οὖρον παχύ τε σφόδρα, καὶ πολλὴν ὑπόστασιν ἔχον, τά τε ἄλλα σωτηρίως ἔχοισιν. γίνονται δὲ, αἱ μὲν ἐς τὰ κάτω, οἷσιν ἂν περὶ ὑποχόνδρια φλεγμονὴ γίνηται· αἱ δὲ ἐς τὰ ἄνω, οἷσιν ἂν, τὸ μὲν ὑποχόνδριον λαπαρόν τε καὶ ἀνώδυνον ᾖ· δύσπνοοι δὲ τινὰ χρόνον γενόμενοι, παύσωνται χωρὶς προφάσιος.

At abscessus ad crura in periculosis inflammationibus pulmonis, omnes quidẽ commodi sunt, optimi autem, sputo puruléto pro flauo enascente. nõ procedente verò sputo secun-

Αἱ δὲ ἐς τὰ σκέλεα τῶν προφασίων, ἐν τῇσιν ἐπικινδύνοισι περιπλευμονίῃσι, λυσιτελέες μὲν πᾶσαι· βέλτισται δὲ αἱ τοῦ πτυέλου πυώδεος ἀντὶ ξανθοῦ γενομένου. μὴ χωρέοντος δὲ τοῦ πτυέλου κα-

τὰ λόγον, μηδὲ οὖρον χρηστὴν ὑπόστασιν ἔχοντος, κίνδυνος χωλωθῆναι τὸν ἄνθρωπον, ἢ καὶ πολλὰ πρήγματα παρασχεῖν. ἢν δὲ παλινδρομέωσιν αἱ ἀποστάσιες, πυρετοῦ παρηκολουθοῦντος, καὶ τοῦ πτυάλου μὴ χωρέοντος, κίνδυνος θανεῖν καὶ παραφρονῆσαι. ὅσοι δὲ τῶν περιπλευμονικῶν μὴ ἀνεκαθάρθησαν ἐν τῇσι κυρίῃσιν ἡμέρῃσιν, ἀλλὰ παρακόψαντες διέφυγον τὰς τεσσαρεσκαίδεκα, κίνδυνος ἐμπύους γενέσθαι.

dum rationem, neq; vrina bonã subsidentiam habente, periculum est claudũ fore hominem, aut multum molestiarũ exhibitura res est. si verò recurrerit abscessus, febre consequente, & sputo nõ procedente, periculum est ne moriatur ac deliret. quicunque verò peripneumonici nõ purgati sunt iudicatorijs dieb9, sed mente moti quatuordecim dies effugerunt, eos periculũ est suppuratos fieri.

Τῶν περιπλευμονιῶν αἱ ἐκ πλευριτικοῦ μεταστᾶσαι, τῶν ἐξ ἀρχῆς γινομένων ἀσφαλέστεραι.

Peripneumonię ex pleuritide transmutatæ, securiores sunt his quę ab initio fiũt.

Τῶν δὲ σωμάτων τὰ γεγυμνασμένα καὶ πυκνά, θᾶσσον ὑπὸ τῶν

Corpora exercitata ac densa, citiùs à

pleuriticis ac peripneumonicis morbis pereunt quàm in exercitata.

Grauedines & sternutationes in morbis circa pulmonem, & antecessisse, & succedere, malũ est. reliquis autem sternutatio non incommoda est.

Peripneumonicis quibus lingua tota alba ac aspera fit, ambæ pulmonis partes inflãmatæ sunt: quibus verò dimidium, vna iuxta quam apparet: & quibus ad vnam clauiculã dolor fit, his superna pulmonis ala vna ægrotat: quibus autẽ ad ambas clauiculas dolor fit, ambæ supernæ pulmonis alæ

πλευριτικῶν καὶ περιπλευμονικῶν ἀπόλλυνται τῶν ἀγυμνάστων.

Κορύζας καὶ πταρμοὺς τοῖσι περὶ πλεύμονα καὶ προγίνεσθαι καὶ ἐπιγίνεσθαι, πονηρόν· τοῖσι δὲ λοιποῖσι, πταρμὸς οὐκ ἀλυσιτελής.

Τοῖσι περιπλευμονικοῖσιν οἷσι γλῶσσα πᾶσα λευκὴ καὶ τρηχεῖα γίνεται, ἀμφότερα φλεγμαίνει τὰ μέρεα τοῦ πλεύμονος· οἷσι δὲ τὸ ἥμισυ, ἐν καθ' ὃ φαίνεται· καὶ οἷσι μὲν πρὸς τὴν ἑτέρην κληῗδα ὁ πόνος γίνεται, ἡ ἄνω πτέρυξ τοῦ πλεύμονος ἡ μία νοσέει. οἷσι δὲ πρὸς ἄμφω τὰς κληῗδας ὁ πόνος γίνεται, αἱ ἄνω πτέρυγες τοῦ πλεύμονος ἄμφω

νοσέουσιν· οἷσι κατὰ μέσην τὴν πλευρὴν, ἡ μέση· οἷσι δὲ πρὸς τὴν διάτασιν, ἡ κάτω· οἷσι δὲ πᾶν τὸ ἓν μέρος πονέουσι, πάντα τὰ κατὰ τοῦτο μέρος νοσέει. ἢν μὲν οὖν σφόδρα φλεγμαίνωσιν αἱ ἀορταὶ, ὥστε προσκαθῆσθαι πρὸς τὸ πλευρὸν, παραλύονται τὸ κατὰ τοῦτο τὸ μέρος τοῦ σώματος, καὶ πελιώματα περὶ τὴν πλευρὴν ἔξω γίνεται. τούτους δὲ ἐκάλεον οἱ ἀρχαῖοι βλητούς. ἢν δὲ μὴ σφόδρα φλεγμαίνωσιν, ὥστε μὴ προσκαθῆσθαι, ἀλγηδὼν μὲν γίνεται παρ' ὅλον, οὐ μὴν παραλύονταί γε, οὐδὲ πελιώματα ἴσχουσιν.

Οἷσι δ' ἅπας ὁ πλεύμων φλεγμήνῃ μετ'

ægrotãt: quibus iuxta mediã costã, media: quibus ad discriminationẽ, inferna: at totam vnam partem dolentibus, omnia iuxta hanc partẽ dolent. siquidem igitur aortæ appellatę, vtrinq; appendentes pulmonis partes, valde inflammatæ sunt, vt ad latus assideãt, hac corporis parte resoluuntur, & liuores foris circa costã habent. hos autẽ veteres ictos, siue sideratos vocabant. si verò non valde inflammatæ sunt, vt nõ assideant, dolor quidem fit per totum, non tamen resoluũtur, neq; liuores habent.

Quibus verò totus pulmo inflãmatus fue

rit, vnà cũ corde, vt ad latus allabatur, hi toti resoluuntur, & iacet æger frigidus sensus exors: moritúrq; secũda aut tertia die. si verò etiam sine corde cõtigerit, minus diu viuunt. quidã autem etiam seruantur.

Qui suppurati fiũt, maximè ex pleuritide ac peripneumonia, eos calores comitantur, interdiu tenues, noctu vehementiores, & nihil memoratu dignũ spuunt, & circa collum ac clauiculã sudant, & oculi caui fiunt, maxillę verò rubent. digiti summi deterius calescunt ac asperantur. vngues curuãtur, ac

τῆς καρδίης, ὥστε καὶ προσαπεσεῖν πρὸς τὴν πλευρὴν, παραλύεται πᾶς ὁ νοσέων, καὶ κεῖται ψυχρὸς ὁ νοσέων ἀναίσθητος· θνήσκει δὲ δευτεραῖος, ἢ τριταῖος. ἢν δὲ καὶ χωρὶς τῆς καρδίης συμβῇ, καὶ ἧσσον πλείονα χρόνον ζῶσιν. ἔνιοι δὲ καὶ διασώζονται.

Τοῖσιν ἐμπύοις γινομένοισι, μάλιστα δὲ ἐκ πλευριτικοῦ καὶ περιπλευμονικοῦ, θέρμαι παρακολουθοῦσι, τὴν μὲν ἡμέρην λεπταὶ, τὴν δὲ νύκτα συντονώτεραι, καὶ πτύουσιν οὐδὲν ἄξιον λόγου, ἱδροῦσί τε περὶ τράχηλον καὶ κληῖδα· καὶ τοὺς μὲν ὀφθαλμοὺς κοιλαίνονται, τὰς δὲ γνάθους ἐρεύθονται. χεῖρον δὲ, θερμαίνονται μὲν δακτύλους ἄκρους, καὶ

τραχυνόντι· γρυποῦν-
ται δὲ ὄνυχας, καὶ κα-
ταψύχονται, περί τε
τοὺς πόδας ἐπάρματα
ἴσχουσι, καὶ κατὰ τὸ σῶ-
μα φλυκταινίδια, σί-
των τε ἀφίστανται. τὰ
μὲν οὖν χρονίζοντα
τῶν οἰδημάτων ἴσχει
τὰ σημεῖα· τὰ δὲ
συντόμως ἐῤῥηγνύμενα
σημειοῦσθαι τούτων τε
τοῖσιν ἐπιγινομένοισι,
καὶ τοῖσιν ἐν ἀρχῇ πό-
νοισι, ἅμα δὲ καὶ ἢν
τὸ δυσπνοώτερος γί-
νηται. ῥήγνυται δὲ τὰ
πλεῖστα τῶν ἐμπυημά-
των, τὰ μὲν εἰκοσταῖα,
τὰ δὲ τεσσαρακοσταῖα,
τὰ δὲ πρὸς τὰ ἑξήκον-
τα. οἷσι μὲν οὖν ὁ πό-
νος ἐν ἀρχῇ ἔγκειται
σύντονος, καὶ δύσπνοια,
καὶ βὴξ μετὰ πτυαλι-
σμοῦ, πρὸς τὰς εἴκο-
σιν ἢ συντομώτερον

perfrigerātur,& cir-
ca pedes tumores ha
bent,& circa corpus
puſtulas, & abſtinēt
à cibis. diuturnæ igi
tur ſuppurationes ſi-
gna hæc habent. quę
verò breui rumpun
tur, ex notis ad eas
conſequentibus co-
gnoſcere oportet, &
ex doloribus in prin
cipio, ſimul autem
& ſi aliquando diffi-
cilius ſpirauerit ho-
mo. rumpuntur au-
tem plurimæ ſuppu-
rationes, partim vi-
geſima die, partim
quadrageſima, par-
tim ſexageſima. qui-
bus igitur dolor in
principio incumbit
intentus, & ſpirandi
difficultas, & tuſsis
cū ſputatione, ad vi-
geſimū diē aut citi9

eruptionem expecta. quibus autem leuiora hæc sunt, iuxta rationem. supputare autē oportet tempus à quo primū doluit, aut grauatus fuit, aut febriit, aut si quādo rigor corripuit. necesse est autē præcedere & dolorem, & spirandi difficultatem, & sputationem, ante ruptionem. quibus igitur & febris statim post ruptionē decedit, & cibum appetunt, & pus facilè educitur album, inodorū, lęue, eiusdem coloris, & à pituita liberū, & aluus parua compacta egerit, plerunque breui seruātur. quos verò & febres sequuntur, & sitis, & cibi fastidiū, &

προσδέχου τὴν ῥῆξιν· οἷσι δὲ ἐλαφρότερα ταῦτα ἐστὶν, κατὰ λόγον. λογίζεσθαι δὲ τὸν χρόνον ἀφ' οὗ πρῶτον ἤλγησεν, ἢ ἐβαρύνθη, ἢ ἐπύρεξεν, ἢ εἴποτε ῥῖγος ἔλαβε. προγίνεσθαι δὲ ἀνάγκη καὶ πόνον, καὶ δύσπνοιαν, καὶ πτυαλισμὸν, πρὸ τῆς ῥήξιος. οἷσι μὲν οὖν ὅ, τε πυρετὸς εὐθέως ἀπογίνεται μετὰ τὴν ῥῆξιν, καὶ σιτίων ἐπιθυμέουσι, καὶ τὸ πῦον ἀνάγεται ῥηϊδίως λευκὸν ἐὸν, καὶ ἄοσμον, καὶ λεῖον, καὶ ὁμόχροον, καὶ ἀφλέγματον, κοιλίη τε μικρὰ συνεστηκότα ὑποχωρέει, ὡς ἐπὶ τὸ πουλὺ σώζονται συντόμως. οἷσι δὲ πυρετοί τε παρακολουθοῦσι, καὶ δίψα, καὶ ἀποσιτίη, καὶ

τὸ πῦον πέλιον, ἢ χλωρὸν, ἢ φλεγματῶδες, ἢ ἀφρῶδες, κοιλίη τε ἐφυγραίνεται, τελευτῶσι. οἷσι δὲ, τὰ μὲν ἐπιγίνεται ἐκ τῶν προειρημένων, τὰ δὲ μὴ, τούτων οἱ μὲν ἀποθνήσκουσιν, οἱ δὲ πολλῷ χρόνῳ σώζονται.

Οἱ δὲ μέλλοντες ἔμπυοι γίνεσθαι, πτύουσιν, τὸ μὲν πρῶτον ἁλμυρὸν, εἶτα γλυκύτερον.

Οἷσι δ' ἐν πλεύμονι φύματα γίνεται, τὸ πῦον ἀνάγουσιν ἐς μ. ἡμέρας μετὰ τὴν ῥῆξιν. ταύτας δὲ ὑπερβάλλοντες, ὡς τὰ πολλὰ φθισικοὶ γίνονται.

Ἐπὶ πλευροῦ ἀλγήματι, στάξις ἀπὸ ῥινῶν αἵματος, κακόν.

Οἷσιν ἐμπύησιν ἐπιεικέστερον ἔχουσιν, δυσωδίαι τῶν πτυσμά-

pus liuidum, aut cũ virore pallidum, aut pituitoſum, aut ſpumoſum, & aluus inſuper liquida fit, moriũtur. at quibus aliqua ex prædictis acceſſerint, aliqua nõ, horũ aliqui pereunt, aliqui multo tempore ſeruantur.

Qui ſuppurati futuri ſunt, primũ ſalſuginoſum ſpuunt, deinde dulcius.

Quibus in pulmone tubercula fiunt, pus educunt ad dies quadraginta poſt ruptionem. has verò tranſgredientes, plerunque tabidi fiunt.

In lateris dolore, ſtillatio ſanguinis de naribus, mala eſt.

Quos ſuppuratos mitius habentes, ſpu-

torum graueolentię ſequuntur, eos recidiua occidit.

τῶν παρακολουθοῦσι, τούτους ὑποτροπὴ κτείνει.

Qui ex pleuriticis exſpuunt purulenta, ſubbilioſa, rotunda: aut purulenta ſubcruēta, progreſſo tēpore, perniciosè habēt. perniciosè item qui nigra fuliginoſa ſpuūt, aut quibus velut à vino nigro ſputa fiunt.

Οἱ ἐν πλευριτικοῖσιν ἀναπτύοντες πυώδεα, ὑπόχολα, στρογγύλα, ἢ πυώδεα ὕφαιμα, προεληλυθότος χρόνου ὀλέθριοι· ὀλέθριοι δὲ καὶ οἱ τὰ μέλανα λιγνυώδεα πτύοντες, ἢ οἷσιν ἀπὸ οἴνου μέλανος γίνεται πτύσματα.

Quicunque ſanguinem ſpumoſum ſpuunt, dextrum præcordium dolētes, de hepate ſpuunt, & multi pereunt.

Ὅσοι αἷμα ἀφρῶδες πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ οἱ πολλοὶ ἀπόλλυνται.

Quibus dum concutiuntur pus cœnoſum & graueolens prodit, plerunque pereunt.

Οἷσι σειομένοισι πῦον βορβορῶδες ἔρχεται καὶ δυσῶδες, ἀπόλλυνται ὡς τὰ πολλά.

Quibus à pure ſpecillum coloratur,

Οἷσιν ἀπὸ τοῦ πύου ἡ μήλη χρωματίζεται,

καθάπερ ἀπὸ πυρὸς, ἀπόλλυνται ὡς τὰ πολλά.

Μετὰ πλευροῦ ἀλγήματος, μὴ πλευριτικοῦ δὲ, καὶ ταραχωδέων λεπτῶν ἐπιεικῶν, οὗτοι φρενιτικοὶ ἀποβαίνουσιν.

Ἐν τοῖσι κατὰ πλεύμονα αἱ λίην ἐξέρυθροι ἀποστάξιες, πονηρόν.

Μετὰ βράγχου πτύελα γλίσχρα ἁλμυρώδεα, κακόν· ἢν δέ τι καὶ ἐπαίρηται κατὰ στῆθος, ἐπὶ τούτοισι κακόν. τὰ ἐς τράχηλον ἀλγήματα, τούτων ἰσχναυθέντων, ὀλέθριον.

Βράγχος μετὰ βηχὸς, καὶ κοιλίης ὑγρῆς, πῦον ἀνάγει.

Οἷσιν ἐν περιπλευμονίῃ οὖρα παχέα ἐν ἀρχῇ, εἶτα πρὸ τῆς τετράδος

velut ab igne, plerũque pereunt.

Cum lateris dolore, non tamen pleuritico, & turbulentis tenuibus lenibus, hi phrenitici euadunt.

In morbis pulmonis valde rubicunde sanguinis stillæ, malæ sunt.

Cum raucedine, sputa viscosa, salsuginosa, mala. si verò etiã quid attollatur iuxta pectus, in his malum est. dolores ad collũ, his attenuatis, perniciosi.

Raucedo cũ tussi, & aluo liquida, pus educit.

Quib⁹ in peripneumonia vrinæ crassæ in principio, deinde ante quartum diem

attenuâtur, letale eſt.

λεπτύνεται, θανάσιμον.

Qui in peripneumonijs ſiccis pauca cõcocta educũt, horrenda res eſt.

Οἱ ἐν ξηροῖσι περιπλευμονικοῖσιν ὀλίγα πέπονα ἀνάγοντες, φοβεροί.

Rubores in pectoribus ſublati, talibus pernicioſi ſunt.

Τὰ ἐν τοῖσι στήθεσιν ἐρυθήματα ἀποπλατέα, γίνεται τοῖς τοιούτοισιν ὀλέθρια.

Lateris dolor in ſputo bilioſo præter rationem euaneſcẽs, mentem emouet.

Πλευροῦ ἄλγημα ἐν πτύσει χολώδει ἀλόγως ἀφανισθὲν, ἐξίσταται.

Febres intermittẽtes ob ſuppurationẽ, pleræque ſudorificæ ſunt.

Οἱ δ' ἐμπυήσιν πυρετοὶ διαλείποντες, ἐφιδρεῦτες οἱ πολλοί εἰσί.

Suppuratis ſurditas oborta, cruẽtam egeſtionem ſignificat: his ad finem nigra prodeunt.

Τοῖσιν ἐμπύοισι κώφωσις γενομένη, αἱματώδεα διαχώρησιν σημαίνει· τούτοισι πρὸς τὴν τελευτὴν μέλανα διαχωρέει.

Lateris dolor cum febre diuturna, puris eductionem fore ſignificat.

Πλευροῦ ἄλγημα μετὰ πυρετοῦ χρονίου, σημαίνει πύον ἀνάξειν.

Horrore affecti frequenter ad ſuppura-

Οἱ φρικώδεες πυκνὰ ἐς ἐμπύησιν ἔρ-

χονται· ἀτὰρ καὶ πυρετὸς τὸν τοιοῦτον ἄγει ἐς ἐμπύησιν.

Οἷσιν ἐκ πλευροῦ ἀλγήματος ἀσιτίαι παρακολουθοῦσιν, ὑπὸ τι καρδιαλγικοὶ, ἱδρώδεες.

Ἔχοντος δὲ προσώπου ἄνθη, καὶ κοιλίης ὑγροτέρης, ἐμπυήματα κατὰ πλεύμονα ἴσχουσι.

Τὰ ὀρθοπνοϊκὰ ποιέει ὑδρωπιώδεα σκληρά.

Τὰ σπάσματα μὲν πάντα ὀχληρὰ γίνεται, καὶ πόνους τε ἐν ἀρχῇ συντόνους παρέχει, καὶ ἐξ ὑστέρου ἐνίους ἀπομιμνήσκει. δυσκολώτατα δὲ τὰ περὶ θώρηκα, μάλιστα δὲ κινδυνεύουσιν.

Οἷσιν ἔμετος αἵματος, πυρετὸς πο-

tioné deueniunt:ſed & febris talé ad ſuppurationé perducit.

Quos ex lateris dolore cibi faſtidia ſequũtur, oris vẽtriculi dolore ac ſudore aliquantulum vexãtur.

Facie flores habente, & aluo liquidiore, ſuppurationes circa pulmones habent.

Erectæ ceruicis ſpirationes facit hydrops ſiccus.

Conuulſiones omnes quidem moleſtæ ſunt, & dolores ĩ principio intentos inducunt: & poſtea quoq; aliquos cõmonefaciunt. verùm difficillimæ ſunt circa thoracem, & maximè periculoſæ.

Quib⁹ eſt vomitus ſãguinis, febris mul-

ta, & dolor circa mā mam, thoracem, & dorſum: quibus hæc omnia fiũt, breui moriuntur: quibus auté non omnia, neq; valde, tardius. inflāmati autē ſunt diebꝰ quatuordecim ad ſummum.

Sanguinem ſpuentibus confert vt ſint ſine febre, & tuſsiāt, ac doleant leuiter, & vt ſputum tenue fiat ad dies bis ſeptem. febrire verò, & tuſsire, ac dolere pertinaciter, & ſanguinem recentem ſemper ſpuere, incōmodum eſt.

Quibus latus ſubleuatum in tumorē ac calidiꝰ eſt, & inclinatis in alterũ, grauitas aliqua impendere videtur, his pus ex

λὺς, καὶ πόνος περὶ μαζὸν, καὶ θώρηκα, καὶ μετάφρενον· οἷσι γὰρ γίνεται πάντα ταῦτα, συντόμως θνήσκουσιν· οἷσι δὲ μὴ πάντα, μηδὲ σφόδρα, βραδύτερον, φλεγμαίνουσι δὲ τὸ μακρότατον ἡμέρας τεσσαρεσκαίδεκα.

Τοῖσιν αἷμα πτύουσιν ἀπυρέτοις ἐοῦσι συμφέρει, καὶ βήσσειν, καὶ πονέειν ἐλαφρῶς, καὶ τὸ πτύαλον λεπτύνεσθαι πρὸς τὰς δὶς ἑπτά. πυρέσσειν δὲ, καὶ βήσσειν, καὶ πονέειν συντόνως, καὶ αἷμα πρόσφατον αἰεὶ πτύειν, ἀσύμφορον.

Ὅσοισι τὸ πλευρὸν μετέωρον καὶ θερμότερον, ὅταν ἐγκεκλιμένοισιν ἐπὶ θάτερον, βάρος ἐξηρτῆσθαι δοκέῃ, τούτοισι τὸ πῦον ἐν τοῖ

ἑνὸς

ἑνὸς μέρεός ἐστιν.

Τοῖσιν ἐμπύοισι τὸν πλεύμονα, κατὰ κοιλίην πῦον ὑποχωρέειν, θανάσιμον.

Ὅσοι τρωθέντες ἐς τὸν θώρηκα, τὸ μὲν ἐκτὸς τοῦ τρώματος ὑγιάσθησαν, τὸ δ' ἐντὸς μὴ, κινδυνεύουσιν ἔμπυοι γενέσθαι. ὅσοις δ' ἂν ἀσθενὴς ἔνδοθεν ἡ οὐλὴ γένηται, ῥηϊδίως ἀναῤῥήγνυνται.

Ἀπόλλυνται δὲ ἐκ μὲν τῶν περιπλευμονικῶν ἐμπυημάτων οἱ γεραίτεροι μᾶλλον· ἐκ δὲ τῶν λοιπῶν, οἱ νεώτεροι.

Τῶν ἐμπύων οἷσι σειομένοισιν, ἀπὸ τῶν ὤμων πολὺς γίνεται ψόφος, ἔλασσον ἔχουσι πῦον, ἢ οἷσιν ὀλίγον δυσπνοωτέροισιν ἐοῦσι καὶ εὐχροωτέροισιν.

vna parte eſt.

Suppuratis pulmonem, per aluum pus ſecedere, letale eſt.

Quicunq; vulnerati in thoracem, externa vulneris parte ſanati ſunt, interna non, periclitãtur ne ſuppurati fiant. quibus autẽ debilis inducta eſt intus cicatrix, facilè refringitur.

Ex perípneumonícis ſuppurationibus ſeniores magis pereunt: ex reliquis, iuniores.

Quibus ſuppuratis dum concutiuntur, multus ſtrepitus de humeris fit, minus puris habẽt hi, quàm quib⁹ paucus, ſi difficilius ſpirent & meliorẽ colorẽ habeãt.

Quibus autẽ, strepitus quidem nullus fit, verùm difficultas spirandi fortis, & vngues liuidi, hi pleni sunt pure, & pernicio sè habent.

Οἷσι δὲ, ψόφος μὲν μηδὲ εἷς ἐγγίνεται, δύσπνοια δὲ ἰσχυρὴ, καὶ ὄνυχες πέλιοι, πλήρεες οὗτοί εἰσι πύου, καὶ ὀλέθριοι.

Qui spumosum sã guinem vomunt, dolore infra septũ trãsuersum non existente, de pulmone vomunt. & quibus quidem magna in ipso vena rumpitur, multum vomũt, & in periculo versantur. quibus verò minor, minus educunt, & securiores sunt.

Ὅσοι ἀφρῶδες αἷμα ἐμέουσι, πόνου μὴ ἐόντος κάτω τοῦ διαφράγματος, ἀπὸ τοῦ πλεύμονος ἐμέουσι. καὶ οἷσι μὲν ἡ μεγάλη φλὲψ ἐν αὐτῷ ῥήγνυται, πολύ τε ἐμέουσι, καὶ εἰσὶν ἐπικίνδυνοι. οἷσι δὲ ἡ ἐλάσσων, ἔλασσόν τε ἀνάγουσι καὶ εἰσὶν ἀσφαλέστεροι.

Quib⁹ tabidis sputum in igne grauem nidorem olet, & capilli de capite fluũt, pereunt.

Τῶν φθισικῶν οἷσιν ἐπὶ τοῦ πυρὸς τὸ πτύαλον κνίσῃ βαρὺ, καὶ αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ἀπόλλυνται.

Quibus tabidis in mare expuenti-

Τῶν φθισικῶν οἷσιν ἐπὶ θάλασσαν πτύ-

ουσιν, ἐς τὸν πυθμένα βαδίζει τὸ πῦον, ὀλέθριον συντόμως. ἔστω δὲ ἐν χαλκῷ ἡ θάλασσα.

Ὅσοισι τῶν φθισικῶν αἱ τρίχες ἐκ τῆς κεφαλῆς ῥέουσιν, ὑπὸ διαῤῥοίης ἀπόλλυνται· καὶ ὅσοισι φθισικοῖσιν ἐπιγίνονται διάῤῥοιαι, θνήσκουσιν.

Αἱ ἐν φθινώδεσιν ἐπισχέσιες πτυάλων ἐξιστᾶσι ληρωδῶς, αἱμοῤῥοΐδα τούτοισιν ἐλπὶς ἐπιφανῆναι.

Φθίσιες ἐπικινδυνόταται, αἵ τε ἀπὸ ῥήξιος φλεβῶν τῶν παχειῶν, καὶ ἀπὸ καταῤῥόου τοῦ ἀπὸ κεφαλῆς.

Τῶν δὲ ἡλικιῶν ἐπικινδυνόταται πρὸς φθίσιν ἀπὸ ιη. ἐτέων, μέχρι ε. καὶ λ.

bus, pus ad fundum ſidit, breui pereunt: ſit autem mare in æneo vaſe.

Quibus tabidis capilli ex capite defluunt, à profluuio alui moriuntur: & quibus tabidis alui profluuia accedunt, moriuntur.

In tabeſcentibus ſputa ſuppreſſa, mentem ad nugas garriẽdas emouẽt, his ſpes eſt hęmorroidem apparere poſſe.

Tabes periculoſiſſimę ſunt, à ruptione venarum craſſarum, & à defluxu de capite.

AEtates periculoſiſsimæ ſunt ad tabem, ab anno decimo octauo, vſque ad trigeſimũquintum.

Pruriginosa corpora post aluũ suppressam in tabidis, mala sunt.

Τὰ κνησμώδεα σώματα μετὰ κοιλίης στάσιν ἐν φθισικοῖσι, κακόν.

In habitibus tabescentibus cum febre fluxiones ad gingiuas & dentes comparentes, malæ sunt.

Ἐπὶ τῇσι φθινώδεσιν ἕξεσι μετὰ πυρετοῦ ἐς οὖλα καὶ ὀδόντας ῥεύματα ἐπιφαινόμενα, κακόν.

In omnibus in tumorem eleuata prȩcordia; mala sunt: in tabidis autẽ pessima.

Ἐπὶ πᾶσιν ὑποχόνδρια μετέωρα, κακόν· κάκιστον δὲ ἐπὶ τοῖσι φθισικοῖσι.

Ex his qui diutina tabe perniciosè consumpti sunt, aliqui ante finẽ rigore apprehenduntur.

Τῶν μακρῶν ἐπὶ τοῖσι τετηκόσιν ὀλεθρίοισιν, ἔνιοι πρὸ τῶν τελευτῶν ἐπιῤῥιγοῦσι.

Pustularũ eruptiones velut ferro lancinatæ, habitus tabem significant.

Τὰ ἀμυχώδεα ἐξανθίσματα, φθίσιν ἕξιος σημαίνει.

Difficulter spirãtes ex putredine, multa cruda educentes in tabe, perniciosè habent.

Οἱ δύσπνοοι ξηρώσει πολλὰ ἄπεπτα ἀνάγοντες ἐν φθίσει, ὀλέθριοι.

Οἷσιν ἡπατικοῖσι πολὺ πτύαλον αἱματῶδες, εἴτε ἐνυπόσαπρον, εἴτε χολῶδες ἄκρητον, ὀλέθριον αὐθέως.

Quibus hepaticis multum est sputum cruętum, siue subputridũ, siue biliosum meracũ, statim perniciosum est.

Ἐφ᾽ ἡπατικῷ τῆξις ἅμα βράγχῳ, κακὸν, ἄλλως τε ἢν ὑποβήσσῃ.

In hepatico colliquatio cũ raucedine malum, tum aliàs, tũ si aliquantũ tussiat.

Οἱ καθ᾽ ἧπαρ ὀδυνώδεες, καρδιαλγικοὶ, καρώδεες, ῥιγώδεες, κοιλίας ταραχώδεες, λεπτοὶ, ἀπόσιτοι, ἐφιδροῦντες πολλῷ, πυώδεα κατὰ τὴν κοιλίην ὑφοίενται.

Hepar dolẽtes, os ventriculi dolentes, soporosi, rigorem habentes, & aluum turbatã, tenues, cibum auersantes, multũ exsudantes, purulenta per aluum egerunt.

Τοῖσιν ἧπαρ ἐξαπίνης περιοδυνοῦσιν, πυρετὸς ἐπιγενόμενος λύει.

Hepar derepentè circumcirca dolentibus, febris accedẽs dolorem soluit.

Ὅσοι δὲ ἀφρώδες αἷμα πτύουσι, πονέοντες ὑποχόνδριον δεξιὸν, ἀπὸ τοῦ ἥπατος πτύουσι, καὶ θνήσκουσιν.

Qui sanguinẽ spumosum spuunt, præcordiũ dextrũ dolentes, de hepate spuũt, & moriuntur.

Quibꝰ hepar vstis, velut amurca prodit, letale est.

Hydropes ex morbis acutis, dolorosi fiunt ac perniciosi. incipiunt autem plerique à laterum mollitudine, aliqui etiam ab hepate. his igitur quibus à laterũ mollitudine initium sumunt, pedes tument, & alui profluuia diuturna sequuntur, aluum nõ mollientia, neq; dolores ex lumbis & laterum mollitudine soluẽtia: quibus verò ab hepate tussis adhuc promptè oboritur, & pedes tument, & aluus dura egerit, eáq; ad necessitatem coacta, & tumores circa ipsam fiunt, partim in dex-

Οἷσιν ἧπαρ καυθεῖσιν οἷον ἀμόργη ἔρχεται, θανάσιμον.

Οἱ δὲ ὕδρωπες οἱ ἐκ τῶν ὀξέων νοσημάτων, ἐπίπονοι γίνονται καὶ ὀλέθριοι. ἄρχονται δὲ, οἱ πλεῖστοι μὲν ἀπὸ τῶν κενεώνων, οἱ δὲ καὶ ἀπὸ τοῦ ἥπατος. τοῖσι μὲν οὖν ἀπὸ τῶν κενεώνων ἀρχομένοισιν, οἱ πόδες οἰδέουσι, καὶ διάῤῥοιαι πολυχρόνιοι παρακολουθοῦσιν, οὐ λαπάσσουσαι κοιλίην, οὐδὲ τὰς ὀδύνας λῦσαι τὰς ἐξ ὀσφύος καὶ κενεώνων· ὅσοις δὲ ἀπὸ τοῦ ἥπατος βὴξ ἔτ' ἐτύμως ἐγγίνεται, καὶ οἱ πόδες οἰδέουσι, καὶ ἡ κοιλίη σκληρὰ διαδίδωσι, καὶ πρὸς ἀνάγκην, οἰδήματά τε περὶ αὐτὴν γίνεται, τὰ μὲν ἐκ δε-

ξιὰ, τὰ δ' ἐπ' ἀριστερὰ, καὶ πάλιν καταπαύεται.

Ἐπὶ τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι τὰ στραγγουρικὰ, μοχθηρόν· φλαῦρα δὲ καὶ τὰ μικρὰς ὑποστάσιας ἔχοντα.

Τοῖσιν ὑδρωπιώδεσιν ἐπιληπτικὰ ἐπιγινόμενα, ὀλέθριον, ἀλλήλων τε σημείων μοχθηρῶν, καὶ κοιλίας ἐξυγραίνουσιν.

Ἐν τοῖσι χολώδεσι κοιλίη ταραχώδης, διαδιδοῦσα σμικρὰ γονώδεα, μυξώδεα, καὶ πόνον περὶ ἦτρον ἐμποιέοντα, καὶ οὖρα οὐκ εὐλύτως ἰόντα, ἐς ὕδρωπα ἀποτελευτᾷ ἐκ τῶν τοιούτων.

Ὑδεριῶντι πυρετώδει, οὖρον μικρὸν καὶ τεταραγμένον, ὀλέθριον.

tra, partim ĩ ſiniſtra, & rurſus ſedantur.

In hydropicis ſiccis vrinæ ſtillicidia mala: malæ etiã vrinæ paruas ſubſidentias habentes.

Hydropicis comitialis morbi affectiones accedentes, perniciosæ ſunt, & inter ſe ſigna praua ſunt, & aluos humectant.

In bilioſis aluus turbata, egerens parua genituræ ſimilia, mucoſa, & dolorem circa pubem inducentia, & vrinæ non facilè ſolubiles prodeũtes, ex talibus in hydropem deſinunt.

Hydropico febrienti, vrina parua & turbata, pernicioſa eſt.

In aqua inter cutem incipiente, alui profluuium aquosum oriens, citra cruditatem, morbum soluit.

In hydrope sicco sui significationem præmittente, tormina circa intestinum tenue insidentia, mala sunt.

Ex hydropicis comitiales, perniciosi.

Hydrops qui ad curationem remisit recurrēs, desperatus est.

Hydropicis circa venas aqua in aluū prolapsa, solutio fit.

Dysenteria intempestiuè suppressa, abscessum in costis, aut visceribus, aut in articulis facit: num igitur biliosus abscessus in articulis, sanguineus in costis, aut

Ἐπὶ δὲ ὑδέρῳ ἀρχομένῳ, διάῤῥοια γενομένη ὑδατώδης, χωρὶς ἀπεψίης, λύει τὸ νόσημα.

Τοῖσι ξηροῖσιν ὑδρωπιώδεσι προσημαίνουσι, στρόφοι περὶ τὸ λεπτὸν ἐμπίπτοντες, κακόν.

Τὰ ἐξ ὑδρωπικῶν ἐπιληπτικὰ, ὀλέθρια.

Ὕδερος πρὸς θεραπείην ἐνδιδοὺς παλινδρομέων, ἀνέλπιστον.

Τοῖσιν ὑδρωπιώδεσι κατὰ φλέβας ἐς κοιλίην ῥαγέντος τοῦ ὕδατος, λύσις.

Δυσεντερίη ἀκαίρως ἐπιστᾶσα, ἀπόστασιν ἐν πλευροῖσιν, ἢ σπλάγχνοισιν, ἢ ἐν ἄρθροισιν ποιέει ἄρα, ἢ μὲν χολώδης ἐν ἄρθροισιν, ἢ δὲ αἱματώδης ἐν πλευροῖσιν, ἢ

σπλάγχνοισι;

Δυσεντερικοῖσιν ἔμετος χολώδης ἐν ἀρχῇ, κακόν.

Οἷσιν ἐκ δυσεντερίης ὀξείης ἐς πυώδεα ἥκει τὸ ὑγρὸν, τὸ ἐφιστάμενον ἐκλευκὸν ἔσται καὶ πολύ.

Τὰ δυσεντεριώδεα, ὑπέρυθρα, ἰλυώδεα, λάβρα διαχωρήματα ὑπὸ φλογώδεσιν, ἐξερύθροισι χρώμασι λυόμενα, ἐλπὶς ἐκμανῆναι.

Δυσεντερίη σπληνώδεσι μὴ μακρὴ, χρήσιμον, μακρὴ δὲ πονηρόν. ληγούσης γὰρ, εἰ ὕδρωπες, ἢ λειεντερίαι γίνονται, θανάσιμον.

Εν λειεντερικοῖσι, μετὰ θηρίων, ὀδύναι στρόφω

viſceribus fit?

Dyſentericis vomitꝰ bilioſus in principio, malus eſt.

Quibus ex dyſenteria acuta humor ad purulentiam deuenit, his id quod ſuperſtat, valde album ac multum erit.

Dyſentericæ, ſubrubræ, limoſæ, large egeſtiones alui, inflammeis, valde rubicundis coloribus ſolutæ, inſaniæ timorem inducunt.

Dyſenteria nõ longa ſplenicis commoda eſt, lõga verò mala. deſinente enim, ſi hydropes, aut inteſtinorũ lęuitates fiunt, letale eſt.

In inteſtinorũ lævitatibus cũ animalculis, dolores tormine

soluti, partes circa articulos tumefaciũt, ex talibus squamulę rubicũdæ, pustulosę: hi vbi exudarunt velut flagris cæsi rubefiunt.

λυόμεναι, τὰ περὶ ἄρθρα μετεωρίζουσιν, ἐκ τοιούτων λέπια ἐξέρυθρα, φλυκταινούμενα, ἐξιδρώσαντες οὗτοι διαφοινίσσονται οἷα μάστιξιν.

Qui in longis intestinorum lęuitatibus vnà cũ animalculis tormina patiũtur, & doloribus afficiũtur, his solutis intumescũt: insuper rigere his malum est.

Οἱ ἐν λειεντεριώδεσι μακροῖσι ἅμα θηρίοισι στροφώδεες, ὀδυνώδεες, λυομένων ἐπαιδέουσι. τὸ ἐπιῤῥιγοῦν τούτοισι κακόν.

Intestinorũ lęuitates cum spirandi difficultate, & lateris pũctura, in tabẽ desinunt.

Λειεντερικὰ μετὰ δυσπνοίης, καὶ πλευροῦ τῇ κινήσει, ἐς φθίσιν ἀποτελευτᾷ.

Voluulosis vomitus, & surditas, malũ.

Εἰλεώδεσιν ἔμετος, καὶ κώφωσις, κακόν.

Vesicæ durę & dolentes, omnino quidem malæ sunt, pessimæ verò cum febre continua. nã dolores

Κύστιες δὲ σκληραί τε καὶ ἐπώδυνοι, πάντων μὲν κακόν, κάκιστον δὲ πυρετῷ συνεχεῖ. καὶ γὰρ οἱ ἀπ' αὐτέων πό-

νοι, ἱκανοὶ αὐελεῖν· καὶ κοιλίαι τουτέοισιν, οὐ πάνυ διαχωρέουσι. λύει δὲ τούτους οὖρον πυῶδες ἐλθὸν, λευκὴν καὶ λείην ἔχον ὑπόστασιν. μὴ λυομένων δὲ τούτων, μηδὲ τῆς κύστιος λαπασσομένης ἐν τῇσι πρώτῃσι περιόδοισιν, ἢ τοῖς ἀπολέσθαι τὸν νοσέοντα. μάλιστα δὲ γίνεται τοῖσι παισὶν ἀπὸ ἑπτὰ ἐτέων μέχρι πεντεκαίδεκα.

Οἱ λιθιῶντες σχηματισθέντες, ὥστε τὸν λίθον μὴ προσπίπτειν πρὸς τὸν οὐρητῆρα, ῥηιδίως οὐρέουσιν.

Οἷσι δὲ φῦμα περὶ τὴν κύστιν ἐστὶ, τὸ παρέχον τὴν δυσουρίην, παντοίως σχηματισθέντες ὀχλέονται. λύσις

ab ipſis veſicis,ad occidendum ſufficiũt: & alui his non valde egerũt.ſoluit autem hos vrina purulenta prodiens,albã ac leuem ſubſidentiã habens.his verò non ſolutis,neq; veſica mollescẽte in primis circuitibus, ægrum moriturũ eſſe timor eſt. fit autem hoc maximè à ſeptem annis vſque ad decimumquintum.

Calculoſi ita figurati, vt lapis ad vrinarium meatũ non illabatur,facilè mingunt.

Quibus tuberculum eſt circa veſicã, quod meiendi difficultatem inducit,ad omnis generis figuras vexantur: huius

autem solutio fit, pure erumpente.

δὲ τούτου γίνεται, πύου ῥαγέντος.

Quibus vrina clã destinè allabitur ad pudendum, exoluuntur desperati.

Οἷσι λανθάνει τὸ οὖρον προσπῖπτον καὶ τὸ αἰδοῖον, ἑλκοῦνται ἀνέλπιστοι.

In vrinę stillicidio voluulus accedens, septima die perimit, nisi febre accedente, vrina aceruatim prodeat.

Ἐπὶ στραγγουρίῃ εἰλεὸς ἐπιγινόμενος, ἑβδομαίους ἀπόλλυσιν, ἢν μὴ πυρετοῦ ἐπιγενομένου, ἀθρόον οὖρον ἔλθῃ.

Torpores, & sensus stupiditates præter morẽ orientes, futuræ siderationis signum sunt.

Νάρκαι, καὶ ἀναισθησίαι γινόμεναι παρὰ τὸ ἔθος, ἀποπληκτικῶν συμβησομένων σημεῖον.

Qui exvulnere impotentes fiunt corpore, febre quidem accedẽte citra rigorẽ, sanantur: non autem accedente, siderati fiunt dextra aut sinistra parte.

Ὅσοι ἐκ τρώματος ἀκρατέες γίνονται τοῦ σώματος, πυρετοῦ μὲν ἐπιγινομένου χωρὶς ῥίγεος, ὑγιάζονται· μὴ γινομένου δὲ, ἀπόπληκτοι γίνονται τὰ δεξιὰ, ἢ τὰ ἀριστερά.

Sideratis si hæmorrhoides accedant,

Ἀποπληκτικοῖσιν αἱμοῤῥοΐδες ἐπιγινό-

μένα, χρήσιμον· ψύξιες δὲ καὶ ναρκώσιες, πονηρόν.

Εν τοῖσιν ἀποπληκτικοῖσιν ὑπὸ τῇ δυσφορίῃ τοῦ πνεύματος ἱδρὼς ἐπιγινόμενος, θανάσιμον· ἐν αὐτοῖσι δὲ πάλιν τουτέοισιν ἢν πυρετὸς ἐπιγίνηται, λύσις.

Τὰ ἐξαίφνης ἀποπληκτικὰ λελυμένως ἐπιπυρετήναντα χρόνῳ, ὀλέθρια.

Οἷσιν ἐκ τινὸς ἀῤῥωστίης ἐς ὕδερον περιίσταται, τούτοισι κοιλίαι ξηραὶ σπυραθώδεες ἔρχονται, μετὰ περιτήξιος μυξώδεος καὶ οὖρον οὐ καλὸν, διατάσιές τε περὶ ὑποχόνδρια, καὶ πόνοι καὶ ἐπάρματα περὶ κοιλίην, καὶ πόνοι πε-

vtile eſt: ſi verò frigiditates & torpores, malum.

In ſideratis ex ſpiritus ægra latione, ſudor accedens, letale: rurſus autẽ in his ipſis ſi febris accedat, ſolutio fit.

Siderationes derepẽtè exolutorio modo ortę, inſuper tẽporis ꝑgreſſu febre accedẽte, ꝑnicioſę ſũt.

Quibus ex aliqua ægritudine ad aquã inter cutem res deuenit, his alui ſiccæ excremẽta caprini ſtercoris pilulis ſimilia egerunt, cum eliquidatione mucoſa, & vrina non bona, & diſtentiones circa præcordia, & dolores ac tumores circa ventrem, & dolores cir-

ca laterum mollitudinem, & iuxta ſpinę muſculos accidunt: febres, item, & ſitis, & tuſſes ſiccæ ſequũtur, & circa motus ſpirãdi difficultas, & crurũ grauitas, & à cibis abſtinẽt, & paucis ingeſtis explentur.

ρὶ κενεῶνας, καὶ περὶ τοὺς ῥαχιαίους μύας προσπίπτουσι· πυρετοί τε, καὶ δίψαι, καὶ βῆχες ξηραὶ παρακολουθοῦσι, καὶ δύσπνοια περὶ τὰς κινήσιας, καὶ σκελέων βαρύτης, σιτίων τε ἀφεστᾶσι, καὶ προσενεγκάμενοι μικρὰ πληροῦνται.

Hydropas leucophlegmatias appellatos, alui profluuium ſedat: at triſtitię cum ſilentio, & hominum auerſiones, leniter eo modo affectos occidunt.

Τοὺς λευκοφλεγματοῦντας διάῤῥοια παύει. αἱ μετὰ σιγῆς ἀθυμίαι, καὶ ἀπανθρωπίαι ἐπιεικῶς αὐτῶν κατεργαστικαί.

Qui ex timore cũ perfrigeratione mẽte mouentur, febres cum ſudoribus, & ſomni vocem aliquantum intercipientes, hæc ſoluunt.

Οἷσι φόβου μετὰ καταψύξιος ἐξίστανται, πυρετοὶ μεθ' ἱδρώτων, καὶ ὕπνοι ὑπάναυδοι, ταῦτα λύουσιν.

Ex inſania ad rau

Ἐκ μανίης ἐς βρα-

χον μετὰ βηχὸς ἀπόστασις.

Ἐν τοῖσι μανικώδεσι σπασμὸς προσγινόμενος, ἀμαυρῶσιν ἴσχει.

Αἱ σιγῶσαι ἐκστάσιες οὐχ ἡσυχάζουσαι, ὄμμασι περιβλέπουσαι, πνεῦμα ἔξω ἀναφέρουσαι, ὀλέθριαι· ποιοῦσι δὲ παραπληκτικὰ χρόνια. ἀτὰρ καὶ ἐκμαίνονται οὗτοι. οἷσι δὲ ὑπὸ ταραχῆς κοιλίης οὕτω παροξύνονται, περὶ κρίσιν μέλανα διέρχεται.

Τῶν ἰητρῶν προῤῥήσιες ἀπαγγέλλονται συχναί τε καὶ καλαὶ, καὶ θαυμασταί· οἵας ἐγὼ μὲν οὔτ' αὐτὸς προεῖπον, οὔτ' ἄλλου ἤκουσα προλέγοντος. εἰσὶ δ' αὐτῶν, αἱ μὲν τοιαίδε· ἄνθρωπον δοκέειν ὀλέθριον εἶναι καὶ τῷ ἰητρῷ τῷ μελεδαίνοντι αὐτέου, καὶ τοῖσιν ἄλλοισιν· ἐπεισιόντα δὲ ἰητρὸν ἕτερον εἰπεῖν, ὅτι ὁ μὲν ἄνθρωπος οὐκ ἀπολεῖται, ὀφθαλμῶν δὲ τυφλὸς ἔσται. καὶ παρ' ἕτερον δοκέοντα παγκάκως ἔχειν, εἰσελθόντα προειπεῖν, τὸν μὲν ἄνθρωπον

# HIPPOCRATIS PRAEDICTION. Lib. II.

Medicorum prædictiones narrantur multæ & variæ, & admirãdæ, quales ego quidé neq; ipse prædixi, neq; alium aliqué prædicere audiui. Sunt autem aliquæ ex ipsis huiusce modi: Hominé perniciosè affectũ esse, & medico ipsum curanti, & alijs videri: verùm medicum alterum superuenisse ac dixisse, Non peribit hic homo, verùm cæcus euadet. Item ad aliũ qui omnino male habere videbatur, ingressum prædixisse, hominem quidem

euasurum esse, verũ manum claudam habiturum. & ad alium quendam qui similiter superstes fore nõ putabatur, dixisse, ipsum quidem sanũ fore, verùm pedum digitos nigrefactos putrefactione corrumpendos esse. Et aliæ huiuscemod prædictiones in tali prædictionis specie dicuntur.

Alius autem prædictionis modus est, ementibus ac negociationes tractantibus prædicere, alijs mortem, alijs insaniam, alijs alios morbos: & ad hęc omnia etiam ea quę prioribus temporibus facta sunt prædicere, ac omnia vera narrare.

Alia porrò adhuc forma prædictionũ est,

ἀναστήσεσθαι, χεῖρα δὲ χωλὴν ἕξειν. καὶ ἄλλῳ τῷ δοκέοντι οὐ περιέσεσθαι, εἰπεῖν, αὐτὸν μὲν ὑγιέα ἔσεσθαι, τῶν δὲ ποδῶν τοὺς δακτύλους μελανθέντας, ἀποσαπήσεσθαι. καὶ τἆλλα τοιουτότροπα προῤῥήματα λέγεται ἐν τοιουτέῳ τῷ εἴδει.

Ἕτερος δὲ τρόπος προῤῥήσιος ὠνεομένοισί τε καὶ διαπρηγματευομένοισι προειπεῖν· τοῖσι μὲν θανάτους, τοῖσι δὲ μανίας, τοῖσι δὲ ἄλλας νόσους. ἔπειτα πᾶσι τούτοισί τε καὶ τοῖσι προτέροισι χρόνοισι, προφητίζειν, καὶ πάντα ἀληθεύειν.

Ἄλλο δὲ σχῆμα προῤῥήσεων τόδε λέγεται, τῶν

ἀθλητὰς γινώσκειν, καὶ τοὺς τῶν νούσων εἵνεκα γυμναζομένους τε καὶ ταλαιπωρέοντας, ἤν τι ἢ τοῦ σιτίου ἀπολίπωσιν, ἢ ἑτεροῖόν τι φάγωσιν, ἢ ποτῷ πλέονι χρήσωνται, ἢ τοῦ περιπάτου ἀπολίπωσιν, ἢ ἀφροδισίων τι προσήξωσι. τούτων πάντων οὐδὲν λανθάνει, οὐδ᾽ εἰ σμικρόν τι εἴη ἀπειθήσας ὥνθρωπος, οὕτως ἐξηκριβῶνται.

Οὗτοι πάντες οἱ τρόποι λέγονται τῶν προρρησίων. ἐγὼ δὲ τοιαῦτα μὲν οὐ μαντεύσομαι· σημεῖα δὲ γράφω, οἷσι χρὴ τεκμαίρεσθαι τούς τε ὑγιέας ἐσομένους τῶν ἀνθρώπων, καὶ τοὺς ἀποθανουμένους· τούς τε ἐν ὀλίγῳ χρόνῳ, ἢ ἐν πολλῷ ὑγιέας ἐσομέ-

athletas & eos q̃ morborũ cauſa exercẽtur ac ſe fatigant cognoſcere, ſi quid aut circa cibũ deliquerint, aut alteratum quippiam ederint, aut potu vberiore vſi fuerint, aut deambulationem intermiſerint, aut res venereas quaſdam exercuerint. Horum omniũ nihil illos latet, adeò vt etiã minima quęque, in quibus nõ paruerit homo, exactè cognoſcant.

Hi omnes prædictionũ modi eſſe feruntur. Ego verò talia quidem non vaticinabor, verũ ſigna ſcribam, ex quibus & ſanos futuros homines, & morituros cõiectare oportet: & tum breui tẽpore, tũ lon-

giore, sanos futuros, aut perituros. Scriptũ est autem à me & de abscessibus, quomodo singulos considerare conueniat. Arbitror autem & eos qui de claudicationibus prædixerunt, aliísque eiusmodi, confirmato iam morbo prædixisse, & quum iam manifestũ esset, quòd abscessus non esset recursurus, si modo intelligentiam habuerunt: multò sanè magis quàm priusquam abscessus fieri inciperet.

νους, ἢ ἀπολυμένους. γέγραπται δέ μοι καὶ περὶ ἀποστασίων, ὡς χρὴ ἐπισκέπτεσθαι ἑκάστας. δοκέω δὲ καὶ τοὺς προειπόντας περί τε τῶν χωλωσίων, καὶ τῶν ἄλλων τῶν τοιουτέων, ἤδη ἀποστηριζομένου τοῦ νοσήματος προειπεῖν, καὶ δήλου ἐόντος, ὅτι οὐ παλινδρομήσει ἡ ἀπόστασις, εἴπερ νόον εἶχον· πολὺ μᾶλλον ἢ πρὶν ἄρχεσθαι τὴν ἀπόστασιν γινομένην.

Spero item & alia prædixisse magis humano more q̃ refertur, quæ videlicet ementibus & negociatione tractantibus prædixisse dicũtur mortes, & morbos, & insanias.

Ἐλπίζω δὲ καὶ τἄλλα προειρηθῆναι, θανάτους τε καὶ νοσήματα καὶ μανίας.

ταῦτα δέ μοι δοκέει τοιαῦτα γίνεσθαι, καὶ οὐδέν τι δοκέει χαλεπὰ εἶναι προειπεῖν τῷ βουλομένῳ τὰ τοιάδε διαγωνίζεσθαι. πρῶτον μὲν γὰρ τοὺς ἐφύδρους τε καὶ φθινώδεας τίς οὐκ ἂν γνοίη· ἔπειτα τοὺς παραφρονήσαντας ἐστὶ μὴ πολὺ λανθάνειν, εἴ τις εἰδείη οἷσι τὸ νόσημα τοῦτο ἢ ξυγγενές ἐστιν, ἢ πρόσθεν ποτ᾽ ἐμαίνησαν. εἰ γὰρ οὗτοι οἱ ἄνθρωποι οἰνόφλυγες εἶεν, ἢ κρεηφαγοῖεν, ἢ ἀγρυπνοῖεν, ἢ τῷ ψύχει ἢ τῷ θάλπει ἀλογίστως ὁμιλοῖεν, πολλαὶ ἐλπίδες ἐκ τουτέων τῶν διαιτημάτων, παραφρονῆσαι αὐτούς.

atque hæc mihi videntur talia facta eſſe, & nulla mihi videtur eſſe difficultas prędicendi, ſi quis circa talia ſtudium ac curam adhibere velit. Primùm etenim aqua inter cutem laborantes & tabidos quis non cognouerit? Deinde deliraturi non diu latere poſſunt, ſi quis nouerit quibus his morbꝰ cognatus eſt, aut prius aliquando inſaniuerunt. Si enim hi homines ebrioſi fuerint, aut carnes vorauerint, aut vigilauerint, aut in frigore aut calore incõſideratè verſati fuerint, multꝰ timor eſt ex tali victus ratione, ipſos deliraturos eſſe.

Et eos qui hæmorrhoidas habent, ſi quis hyeme multo potuvti viderit, & bono colore præditos, de his prædicere licet: quòd ad ver multa ſpes ſit ſanguinis eruptionis, vt & decolores & aquatici ſub æſtatem fiãt. verùm omnia hæc addiſcere ac prędicere oportet, ſi quis in talibus ſtudijs palmã ferre expetat. Licet enim ex ſcriptis prædicere & mortem, & inſaniam, & bonam habitudinem. Poſſem autem referre & alia multa huiuſmodi, ſed quæ facillima cognitu ſunt viſum eſt mihi ſcribere. Conſulo autem vt quàm prudentiſsimè agant, tum in reliqua arte,

τούς τε τὰς αἱμοῤῥοΐδας ἔχοντας, εἴ τις ὁρώη τοῦ χειμῶνος πολυποτέοντάς τε καὶ εὐχρόους ἐόντας, ἔστι προειπεῖν ἀμφὶ τούτων· ἐς δὲ τὸ ἔαρ καταῤῥαγῆναι τὸ αἷμα πολλαὶ ἐλπίδες, ὥστε ἀχρόους τε καὶ ὑδαλέους ὑπὸ τὴν θερείην τούτους εἶναι. ἀλλὰ χρὴ προλέγειν καταμανθάνοντα πάντα ταῦτα, ὅστις τῶν τοιουτέων ἐπιθυμέει ἀγωνισμάτων· ἔστι γὰρ ἐκ τῶν γεγραμμένων προειπεῖν καὶ θάνατον, καὶ μανίην, καὶ εὐεξίην. εἶπον μὲν δ' ἂν καὶ ἄλλα πολλὰ τοιαῦτα. ἀλλὰ τὰ εὐγνωστότατα ἔδοξέ μοι γράψαι. συμβουλεύω δὲ ὡς σωφρονεστάτους εἶναι, καὶ ἐν τῇ ἄλ-

λῃ τέχνῃ, καὶ ἐν τοῖσι τοιούτοισι προῤῥήμασι, γνόντας ὅτι ἐπιτυχὼν μὲν ἄν τις τοῦ προῤῥήματος, θαυμασθείη ἀπὸ τοῦ ξυνιέντος ἀλγέοντος· ἁμαρτὼν δ' ἄν τις, πρὸς τῷ μισεῖσθαι, τάχ' ἂν καὶ μεμηνέναι δόξειεν.

Ὧν δὴ ἕνεκα κελεύω, σωφρόνως τὰ προῤῥήματα ποιέεσθαι, καὶ τἄλλα πάντα, καὶ ταῦτα· καίτοιγε ἀκούω καὶ ὁρῶ, οὔτε κρίνοντας ὀρθῶς τῶν ἀνθρώπους τὰ λεγόμενά τε καὶ ποιεύμενα ἐν τῇ τέχνῃ, οὔτ' ἀπαγγέλλοντας.

Ἀμφὶ δὲ τῶν γυμναζομένων καὶ ταλαιπωρεόντων, τὰς μὲν ἀτρεκείας τὰς λεγομένας ὡς λέγουσιν οἱ λέγον-

tum in huiusmodi prædictionib⁹, illius ꝓbè memores, quòd si cui successerit prædictio, is apud ægrotum intelligẽtia præditum in admiratione fuerit: si verò quis aberrarit, supra hoc quòd odio habetur, fortasse etiam insanire videbitur.

Quapropter iubeo, vt tum alias omnes, tũ has prædictiones prudẽter faciãt: quanquam sanè & audiã & videam, neq; iudicare rectè homines ea quæ dicuntur ac fiunt in arte, neque narrare.

Cæterũ de his quę exercentur ac laboribus se fatigãt, eas asseuerationes quas afferũt hi qui ipsas asse

runt, neque eſſe puto, neq; ſi quis putat, ꝓhibeo. à nullo enim ſigno, neque bono, neq; malo, læduntur ſuſpiciones, cui ſigno fide habita quis ſciat, an rectè pronunciatũ ſit, aut ſecus: alioqui per me licet, vt ſi quis velit credat: nõ enim ego impedimento ſum. arbitror autem ſi quid veri ab ipſis dicitur, aut his qui de his qui exercétur, aſſeuerant, aut illis cui prius ſcripti ſunt, primùm quidem hunc qui cognouit, ex ſignis coniectaſſe. Deinde verò ambiguè & humano more prædixiſſe: & ſimul eos qui id narrant, monſtroſius quàm factum fuit re

τες, ὅτι δοκέω εἶναι, ὅτ' εἴ τις δοκέει, κωλύω δοκέειν. ἀπὸ σημείου μὲν γὰρ οὐδενὸς βλάπτεται τὰ ἀπονοήματα, οὔτε καλοῦ, οὔτε κακοῦ, ᾧ χρὴ πιστεύσαντα εἰδέναι, εἴτε ὀρθῶς ἀπήγγελται, εἴτε οὔ. ἄλλως δὲ ἐκποιέει τῷ βουλομένῳ πιστεύειν· οὐ γὰρ ἐμποδὼν ἵσταμαι. δοκέω δὲ αὐτῶν εἴ τι ἀληθὲς λέγεται, ἢ τῶνδε τῶν περὶ τοὺς γυμναζομένους, ἢ ἐκείνων τῶν πρότερον γεγραμμένων, πρῶτον μὲν τῶν σημείων τεκμήρασθαι τοῦτον γνόντα. ἔπειτα ἐνδοιαστῶς τε καὶ ἀνθρωπίνως προειπεῖν. ἅμα δὲ καὶ τοὺς ἀπαγγέλλοντας τερατωδεστέρους διηγεῖσθαι ἢ ὡς ἐγένοντο.

ἐπεὶ οὐδ' ἐν τῇσι νούσοισιν εὐπετὲς γινώσκειν τὰ ἁμαρτήματα· καίτοι κατάκεινταί γε οἱ ἄνθρωποι, καὶ διαιτήμασιν ὀλιγοτρόφοισι χρῶνται· ὥστε μὴ πάμπολλα δεῖ ὁρᾶσθαι ἀποσκεπτόμενον τὸν μελεδαίνοντα. οἱ μὲν γὰρ πίνουσι μόνον, οἱ δὲ πρὸς τῷ πίνειν, ἢ ῥόφημα, ἢ σιτίον βέλτιστον ἐπιφέρονται. ἀνάγκη οὖν ἐν τῷ τοιούτῳ, τοὺς μὲν τῷ ποτῷ πλέονι χρησαμένους, δυσπνοωτέρους γίνεσθαι, καὶ οὐρέοντας πλέον φαίνεσθαι· τοὺς δὲ τῷ ῥοφήματι ἢ τῷ σιτίῳ πλεονάσαντας, διψαῦτε μᾶλλον, καὶ πυρεταίνειν. εἰ δέ τις ἀμφοτέροις καὶ τῷ ποτῷ, καὶ τοῖσι περὶ τὰ σιτία ἀμέτρως χρήσαιτο, πρὸς

censere. Nam neque in morbis facilè est peccata cognoscere: etiam si decumbant homines, & victu parum nutriente vtantur. vt nõ adeò multa intueri opus sit eũ qui hæc cõsiderandi curã suscepit. Alij enim bibunt solùm, alij ad hoc quòd bibunt, aut sorbitionem, aut cibum paucissimum assumunt. necesse igitur est eos qui vberiore potu vsi sunt, magis difficulter spirare, & plus vrinæ eijcere: eos verò qui sorbitionem aut cibum auxerunt, magis & sitire, & febrire. Si verò quis vtrisque, & potu & cibo, immodicè vsus fuerit, ad hoc quòd

febrit, & difficulter ſpirat, etiam ventrẽ circuntentum & maiorem habebit.

Licet porrò & hęc, & alia omnia experimẽtis optimè explorare, quæ & habem⁹, & omnibus rectè vtimur. Primùm equidem & intelligẽtia, & oculis cognoſcere facilè eſt hominem in eodem loco decũbentẽ, & exacta vict⁹ ratione vtẽtem, ſi nõ paruerit, aut obambulando, aut multa edendo. Deinde qui manibus contrectauit vẽtrem ac venas, minùs falli poteſt, q̃ qui non contrectauit. Et nares, in febrientibus quidem ; & multa & bene ſignificant: odores enim

τῷ πυρεταίνειν, καὶ δυσπνοεῖν, καὶ τὴν γαστέρα περιτεταμένην αὖ καὶ μείζω ἔχειν.

Ἔξεστι δὲ καὶ ταῦτα πάντα καταβασανίζειν κάλλιστα, καὶ τἄλλα τοῖσι δοκιμίοισι, οἷσιν ἔχομέν τε καὶ χρεόμεθα εὖ πάντα. πρῶτον μὲν γὰρ τῇ γνώμῃ τε καὶ τοῖσιν ὀφθαλμοῖσιν ἄνθρωπον κατακείμενον ἐν τῷ αὐτῷ, καὶ ἀτρεκέως διαιτώμενον, ῥᾷόν ἐστι γνῶναι, ἤν τι ἀπειθήσῃ, ἢ περιοδοιπορέοντα, καὶ πάμπολλα ἐσθίοντα. ἔπειτα τῇσι χερσὶ ψαύσαντα τῆς γαστρός τε καὶ τῶν φλεβῶν, ἧσσόν ἐστιν ἐξαπατᾶσθαι, ἢ μὴ ψαύσαντα. αἵ τε ῥῖνες, ἐν μὲν τοῖσι πυρεταίνουσι, πολλά τε καὶ καλῶς σημαίνουσιν· αἱ γὰρ ὀδ-

μοῦ, μέγα διαφέρουσιν. ἐν δὲ τοῖσιν ἰσχύουσί τε καὶ, ὀρθῶς διαιτωμένοισιν, οὐκ οἶδα τί ἂν χρησαίμην οὐδ' ἐν τούτῳ τῷ δοκιμίῳ. ἔπειτα τοῖς ὠσὶ, τῆς φωνῆς ἀκούσαντα καὶ τοῦ πνεύματος, ἔστι διαγινώσκειν, ἃ ἐν τοῖσιν ἰσχύουσιν οὐχ ὁμοίως ἐστὶ δῆλα, ἀλλ' οἵως πρόσθεν.

Ην τὰ ἤθεα τῶν νοσημάτων τε καὶ τῶν ἀλγεόντων ἐκμάθῃ ὁ ἰητρὸς, οὐ χρὴ προλέγειν οὐδέν· οὐ γὰρ ἂν δυσπνούστερος ὥνθρωπος γένοιτο, ἔτι πλανωμένης τῆς νόσου, καὶ πυρετήνειεν ὀξυτέρῳ πυρὶ, καὶ ἡ γαστὴρ ἐπιταθείη. ὥστε διὰ ταῦτα, οὐκ ἀσφαλὲς προλέγειν πρόσθεν, πρὶν ἂν κατάστασιν λαβεῖν τὸ νόσημα

multum inter se differunt. At verò in sanis & recto victu vtẽtibus, haud scio quare vel in hoc experimento faciendo vti possim. Posteà audiẽdo, vocem & spiritũ auribus cognoscere datur, quæ in sanis nõ similiter sunt manifesta, sed qualiter etiam anteá.

Quòd si etiam mores morborum ac ægrotorũ didicerit medicus, nõ tamen quicquã prædicere oportet. Non enim difficiliùs spirabit homo, morbo adhuc errante, & febriet acutiore febre, & venter intentus erit. Quare propter hæc, non tutum est prædicere, priusquam statum accipiat morbus.

Verùm poſt hoc tempus, quicquid pręter rationem acciderit, dicere oportet. manifeſta verò ſunt mala, quæ propter ægri inobediẽtiam fiunt. Nam & ſpirandi difficultates, & alia huiuſmodi, poſtridie ſe dabuntur, ſi ob peccatum fiãt. Si igitur quis hanc iudicationem conſiderans dixerit, non delinquet.

μα. μετὰ δὲ τοῦτον τὸν χρόνον, ὅ,τι ἂν παράλογον γένηται, λέγειν χρή. δῆλα δὲ τὰ διὰ τὴν ἀπειρίην γινόμενα κακά· αἵ τε γὰρ δύσπνοιαι, καὶ τἄλλα τοιαῦτα, τῇ ὑστεραίῃ περιπαύσεται, ἢν δ' ἁμαρτάδα γένηται. ἢν οὖν τις ταύτην τὴν κρίσιν προειδὼς λέγῃ, οὐχ ἁμαρτήσεται.

Atque ego quidem hũc conſiderãdi modum nunc conſulo, tum de his qui domi manent, tum de his qui exercẽtur, itémque de alijs omnibus qualia peccata committãt. at exactã illã narrantes rationem & audio, & derideo. Quũ enim parũ inobediẽtes fuerint homi-

Ἐγὼ μὲν νῦν τόνδε τὸν τρόπον ἐσηγέομαι τῶν ἐπισκεψίων, καὶ περὶ τῶν οἴκοι μενόντων, οἷα ἐξαμαρτάνουσι, καὶ περὶ τῶν γυμναζομένων τε καὶ τῶν ἄλλων πάντων. τὰς δ' ἀκριβείας κείνας ἀκούω τε καὶ καταγελῶ τῶν ἀπαγγελλόντων. σμικρὰ μὲν γὰρ ἀπειθούντων τῶν ἀνθρώπων, ὅκ

οἶδ' ὅπως ἂν ἐλέγξαιμι.

Εἰ δ' ἂν εἴη μείζονα τὰ ἁμαρτήματα, ὅν τινα τρόπον ὑποσκέπτεσθαι χρὴ, γράφω. Χρὴ δὲ πρῶτον μὲν τὸν ἄνθρωπον ἐν ᾧ μέλλει τις γνώσεσθαι τὰ ἀπειθευμένα, ἅπασαν ἡμέρην ὁρᾷν, ἐν τῷ αὐτῷ τε χωρίῳ, καὶ τὴν αὐτὴν ὥρην, μάλιστα τ' ἦμος ἥλιος νεωστὶ καταλάμπει· τοῦτον γὰρ τὸν χρόνον ὑποκεκενωμένος ἂν εἴη. καὶ νῆστις ἂν ἔτι ἐστὶ, καὶ τεταλαιπωρηκὼς οὐδὲν, πλὴν τῶν ὀρθρινῶν περιπάτων, ἐν οἷς ἥκιστα ἀπειθεῖ, ἤν γε ἐπανεγερθεὶς ὥνθρωπος ἐς τὴν περίοδον καταστῇ. ὥστε ἀνάγκη τὸν δικαίως διαιτώμενον

nes, haud ſcio quomodo id deprehēdere poſsim.

Si verò maiora fuerint pecata, quē in modū cōſiderare oporteat, ſcribā. Oportet autē primùm hominem, in quo quis per inobedientiā admiſſa cognoſcere volet, per totū diem intueri, & in eodem loco, & eadem hora, ſole præſertim recens orto. hoc enim tēpore ſubeuacuatus fuerit, & adhuc ieiunus eſt, & nullo labore fatigat⁹ eſt, præterquā matutinis deambulationibus, in quib⁹ minimè inobediens eſt, ſi ſanè vbi de sōno ſurrexit homo, ad deambulandum prodierit. Quare neceſſe eſt eum qui iuſta victus ratione vtitur,

hac hora maximè æqualiter habere, & coloris, & totius corporis constitutionem. Quapropter & is qui huius considerationis curam gerit, acutissimus fuerit, & mẽte, & oculis, eo tempore.

Contemplari præterea oportet hominis mẽtem, & mores, & corporis vires. alij enim alia faciliꝰ aut difficiliùs imperata faciunt. Primùm igitur is cui inedia imperata est, si plura comederit & biberit, ꝑ hæc manifestꝰ fiet, & tumidius corpus ipsius apparebit, & plenius ac coloratius erit, si non excrementa alui malè ipsi processerint. Erit itẽ ani

μάλιστα ταύτην τὴν ὥρην, ὁμαλῶς ἔχειν τὴν κατάστασιν τοῦ χρώματός τε, καὶ τοῦ ξύμπαντος σώματος. διὸ καὶ ὁ ἐπιμελούμενος, ὀξύτατος τ' αὖ εἴη, καὶ τὸν νόον, καὶ τοὺς ὀφθαλμοὺς, ὑπὸ τοῦτον τὸν χρόνον.

Ἐνθυμέεσθαι δὲ χρὴ καὶ τοῦ ἀνθρώπου τὴν γνώμην, τοὺς τρόπους, τοῦ σώματος τὴν δύναμιν· ἄλλοι γὰρ ἄλλα ῥηϊδίως ἐπιτελοῦσι τῶν προσταττομένων, καὶ χαλεπῶς. πρῶτον μὲν οὖν ὁ λιμαγχεόμενος, εἰ πλείονα φάγῃ τε καὶ πίῃ, τούτοισι δῆλος ἔσται, καὶ ὀγκηρότερον αὐτοῦ τὸ σῶμα φανεῖται, καὶ λιπαρώτερον, καὶ εὐχρούστερον ἔσται, ἢ μὴ κακῶς διακεχωρήκῃ τὰ ἀπὸ τῆς γαστρὸς αὐτῷ. ἔσται δὲ καὶ εὐθυμό-

τερος ἐν τῇ ταλαιπωρίῃ. σκεπτέον δὲ καὶ ἢν τι ὀρυγγαίνῃ, ἢ ὑπὸ φύσης ἔχηται· ταῦτα γὰρ προσήκει γίνεσθαι τοῖσιν ὧδε διακειμένοισιν, ὑπὸ ταύτης τῆς ἁμαρτάδος. ἢν δὲ ἐσθίειν τε ἤδη ἀναγκαζόμενος συχνὰ, καὶ ταλαιπωρέειν ἰσχυρῶς, ἢ τὸ σιτίον μὴ καταφάγῃ, ἢ θωρηχθῇ, ἢ μὴ περιελθῇ ἀπὸ τοῦ δείπνου συχνοῦ, ὧδε δ' ὑποσκέπτεσθαι. τὸ μὲν δεῖπνον εἰ μὴ καταφάγοι, περιπατῆσαι δὲ τὰ μεμαθηκότα, ἡδίων τε ἂν προσιδεῖν, ὀξύτερός τε καὶ ὀργασικώτερος ἐν τοῖσι γυμνασίοισιν. ὁ δ' ἀπὸ τοῦ τος, σμικρότερός τε καὶ ξυνεστηκὼς μάλιστ' αὐτῷ τούτῳ, γίνοιτο. ἢν δὲ τὸ δεῖπνον καταφαγὼν μὴ

mosior ad ferendum laborem. Cõsiderandum etiam an ructũ edat, aut à flatib⁹ vrgeatur. hæc enim fieri solét his qui ita affecti sunt ꝓpter hoc peccatum. Si verò dũ edere multa cogitur, & fortiter laborare, aut cibum imperatũ nõ ederit, aut ebrius fact⁹ fuerit, aut à cœna larga non obambulauerit, hoc modo explorare oportet. Si quidem cœnam non ederit, solito autem more deambulauerit, iucũdiorem aspectum præ se feret, & vegetior ac operosior in exercitijs erit. Verũ alui egestio modica & compacta maximè in hoc fuerit. Si verò cœna sumpta non deambulauerit,

ructum vtique edet, & flatuoſus fuerit, & plenitudo nõ minor apparebit, & inter laborandum magis q̃ anteà ſudabit, & difficulter ſpirabit, ac grauis erit: & tranſitus alui, maiores, ac minus viſcoſi his fuerint. quòd ſi neq; cibum cõſumpſerit, neque deambulauerit, pigrior vtique fuerit ac tumidior. Si verò ebrius factus fuerit, ſudabit magis quàm anteà, & difficulter ſpirabit, & ipſe ſeipſo grauior erit ac humidior. Sed & lętior erit, ſi non caput ipſi affligatur. Quòd ſi vxore ſemel vſus fuerit, vegetior vtique erit & magis ſolutus. Si verò ſæpius

περιπατήσῃ, ἐρυγγάνοιτ᾽ ἂν, καὶ φυσώδης εἴη, καὶ πλῆθος οὐκ ἔλασσον φαίνοιτο, καὶ ἱδρώσοι ἂν μᾶλλον ἢ πρόσθεν ἐν τῇ ταλαιπωρίῃ, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύς· αἵ τε διέξοδοι τῆς κοιλίης, μέζονές τε καὶ ἧσσον γλίσχραι τουτέων γίνοιντ᾽ ἄν. εἰ δὲ μήτε τὸ σιτίον καταναλώσειε, μήτε περιπατήσειε, νωθρότερος ἂν εἴη καὶ ὀγκωδέστερος. εἰ δὲ μεθυσθείη, ἱδρώη τ᾽ ἂν μᾶλλον ἢ πρόσθεν, καὶ δύσπνοος ἂν εἴη, καὶ βαρύτερος αὐτὸς ἑωυτοῦ, καὶ ὑγρότερος. εἴη δ᾽ ἂν καὶ εὐθυμότερος, ἢν μή τι αὐτῷ ἡ κεφαλὴ ἀνιῷτο. Γυναικὶ δὲ χρησάμενος ἅπαξ, ὀξύτερος τ᾽ ἂν εἴη καὶ λελυμένος μᾶλλον. εἰ δὲ πλειστάκις διαπρή

ξαιτο, σκληρότερος ἂν γένοιτο, καὶ αὐχμηρόν τι ἔχων, καὶ ἀχρούστερός τε καὶ κοπιώδης μᾶλλον.

rē peregerit, durior euadet, & ſqualloré quendam habebit, & decoloratior ac magis laſſatus erit.

Ἀποπάτους δὲ χρὴ διαχωρέειν τοῖσι ταλαιπωρέουσιν, ἔστ᾽ ἂν ὀλιγοσιτέωσί τε καὶ ὀλιγοποτέωσι, σμικρούς τε καὶ σκληροὺς ἢν ᾗ πᾶσαν ἡμέρην. ἢν δὲ καὶ διὰ τρίτης, ἢ τετάρτης, ἢ διὰ πλέονος χρόνου διαχωρέῃ, κίνδυνος ἢ πυρετὸν, ἢ διαῤῥοίην ἐπιλαβεῖν. ὅσα δὲ ὑγρότερά ἐστι τῶν διαχωρημάτων, ἢ ὥστε ἐντυποῦσθαι ἐν τῇ διεξόδῳ, ταῦτα δὴ πάντα τοῖσι κακίω. τοῖσι δὲ συχνὰ ἐσθίουσιν ἤδη,

Porrò egeſtiones alui procedere oportet his qui laboribus exercentur, quandiu parum ederint, ac parum potauerint, modicas & duras, atque hoc quotidie. Si verò tertio quoq; die, aut quarto, aut ex longiore interuallo prodierint, periculum eſt aut febri, aut alui profluuio corripiendos eſſe. Quæcūque verò egeſtiones liquidiores ſunt, quàm vt in tranſitu conformentur, hæ ſanè omnes peiores ſunt. At verò his qui multum edunt,

&multum laborant,
egestionis transitum
mollem oportet esse
siccum, & copiam ci
borum ingestorum
pro ratione laboris.
Procedunt autem ab
æquali ciborū copia,
his quidem qui mini
mum laborant, pluri
mę egestiones: his ve
rò qui plurimū labo
rant, modicæ, si sani
fuerint, & iusta vict⁹
ratione vtantur. Nā
ad hæc coniecturam
facere oportet. Liqui
diores autē egestio-
nes, & sine febribus
orientes, & quæ septi
ma die aut citi⁹ iudi
cātur, cōmodæ sunt,
si semel vna vice om
nes fiant & nō reuer
tantur. Si verò insup
febrierint homines,
aut alui pfluuia redierint, si lōga fuerint, pe

καὶ πολλὰ ταλαιπω-
ρέουσι, τὴν διέξοδον
χρὴ μαλθακὴν ἐοῦσαν,
ξηρὴν εἶναι, πλῆθος τῶν
τε εἰσιόντων κατὰ λόγον
τῆς ταλαιπωρίης. δια
χωρέει δὲ ἀπὸ τῶν ἴσων
σιτίων, τοῖσι μὲν ἐλά-
χιστα ταλαιπωρέουσι,
πλεῖστα· τοῖσι δὲ ταλαι
πωρέουσι πλεῖστα, σμι
κρὸν, ἢν ὑγιαίνωσί τε
καὶ δικαίως διαιτῶνται.
ἀλλὰ πρός ταῦτα συμ
βάλλεσθαι. αἱ δὲ ὑγρότε
ραι τῶν διαχωρήσεων
καὶ ἄτερ πυρετῶν γι
νόμεναι, καὶ ἑβδομαῖαι,
καὶ θᾶσσον κρινόμεναι,
λυσιτελέες ἐς ἅπαξ πᾶ
σαι γινόμεναι, καὶ μὴ
ἀποστρέφουσαι. εἰ δ' ἐπι
πυρεταίνοιεν οἱ ἄν-
θρωποι, ἢ ἀποστρέφοιεν
αἱ διάρροιαι εἰ μακραὶ
γίγνοιντο, πάντως πο

ὑγραὶ, εἴτε χολώδεες ἦσαν, εἴτε φλεγματώδεες, εἴτε ὠμαὶ καὶ διαιτημάτων τε ἰδίων προσδεόμεναι ἕκασται, καὶ φαρμακευσίων ἄλλαι ἄλλων.

Οὖρον δὲ χρὴ κατά τε τὸ τοῦ πινομένου πλῆθος διουρέεσθαι, καὶ ἴσον αἰεὶ, καὶ ἀθρόον ὡς μάλιστα, καὶ ἐσπῇ, ὀλίγον παχύτερον, ἢ οἷον ἐπόθη. εἰ δὲ εἴη ὑδατῶδές τε, καὶ πλεῖον τοῦ προσταττομένου πίνεσθαι, σημαίνει μὴ πείθεσθαι τὸν ἄνθρωπον, ἀλλὰ πλείονι ποτῷ χρῆσθαι, ἢ οὐ δύνασθαι ἀνατραφῆναι, ἐς ὃ ἂν τὰ τοιαῦτα ποιέῃ τὸ οὖρον. εἰ δὲ κατ' ὀλίγον τρύζοι τὸ οὖρον, σημαίνει ἢ φαρμακεύσιος δεῖσθαι τὸν ἄνθρωπον,

nitus mala sunt, siue biliosa fuerint, siue pituitosa, siue cruda: & victus ratione propria, singula opus habent, itémque medicamentis alia alijs.

Cæterùm vrinam iuxta potionis copiã meiere oportet, & semper æqualem, & quam maximè aceruatim, & momento paulo crassiorem, q̃ id quod in potu acceptũ fuit. Si verò fuerit aquosa, & copiosior q̃ pro eo quòd bibi imperatum est, significat hominem non obedire, sed copiosiore potu vti, aut non posse renutriri, quàm diu talia vrinam faciunt. Si verò paulatim stridat vrina, aut medicamẽtis hominẽ opus habere si

gnificat, aut qd morbi in veſica habere.

At ſanguinẽ meiere, rarò quidem & ſine febre ac dolore, nihil mali ſignificat, ſed laſsitudinũ ſolutio fit. Si verò ſæpius meiat, & aliquid ex his acceſſerit, malũ eſt. Verùm prędicere oportet, ſiue cum dolore meiatur, ſiue cũ febre, fore vt inſuper pus meiat, atque ita dolores quieſcant.

Craſſa verò vrina albam ſubſidentiam habens, aut circa articulos dolorem aliquem, aut tumorem ſignificat. Aliæ verò omnes ſubſidentiæ in vrinis eorum qui exercentur, à morbis circa veſicã fiunt: id quod ipſi manife-

ἢ νόσημά τι τῆς περὶ κύστιν ἔχειν.

Αἷμα δὲ οὐρῆσαι, ὀλιγάκις μὲν καὶ ἄτερ πυρετοῦ καὶ ὀδύνης, οὐδὲν κακὸν σημαίνει, ἀλλὰ κόπων λύσις γίνεται. εἰ δὲ πολλάκις οὐρέοι, ἤ τι τούτων προσγίνοιτο, δεινόν. ἀλλὰ προλέγειν ἤν τε ξὺν ὀδύνης οὐρέηται, ἤν τε ξὺν πυρετῷ, πῦον ἐπιδιουρήσειν, καὶ οὕτω παύεσθαι τῶν ἀλγεόντων.

Παχὺ δὲ οὖρον λευκὴν ὑπόστασιν ἔχον, σημαίνει ἢ περὶ τὰ ἄρθρα τινὰ ὀδύνην καὶ ἔπαρσιν. αἱ δ' ἄλλαι ὑποστάσιες αἱ ἐν τοῖσιν οὔροισι τῶν γυμναζομένων πᾶσαι ἀπὸ τῶν νοσημάτων γίνονται τῶν περὶ τὴν κύστιν. δῆλον δὲ ποιήσουσι.

ξὺν ὀδυνῄσί τε γὰρ ἔσονται, καὶ δυσαπάλλακτοι. καὶ ταῦτα γράφω περὶ τούτων, καὶ λέγω τοιαῦτα ἕτερα. ὧν δὲ δι' ἀκρίβειαν κατηγορέονται τῶν προῤῥήσεων, τοῖσι μὲν αὐτῶν αὐτὸς ξυνεγενόμην, τῶν δὲ παισί τε καὶ μαθητῇσιν ἐλεσχηνευσάμην, τὰ δὲ ξυγγράμματα ἔλαβον. ὥστε οὖν εἰδὼς οἷα ἕκαστος αὐτῶν ἐφρόνει, καὶ τὰς ἀκριβείας οὐδαμοῦ εὑρὼν, ἐπεχείρησα τάδε γράφειν.

Περὶ δὲ ὑδρώπων τε καὶ φθισίων, καὶ τῶν ποδαγρῶν, τῶν τε λαμβανομένων ὑπὸ τῆς ἱερῆς νόσου καλεομένης, τάδε λέγω, κατὰ μέν τι περὶ πάντων, τὸ αὐτό· τὸν γὰρ ξυγγενέα τουστũ facient. Cũ doloribus enim erũt, & tales vt difficulter quis ab ipsis liberari possit. Atq; hæc quidem de his scribo, & huiusmodi alia dico. Cęterũ ex his qui exactã ac certã prædictionũ rationẽ prædicãt, cũ aliquibus ipse cõuersatus sum, cũ aliquorũ verò filijs ac discipulis rem cõtuli, quorũdã verò scripta accepi. quare quũ probè sciã qualiter quisque ipsorũ sentiat, & exactas certitudines nusquam cõpererim, hęc scribere aggressus sũ.

Atverò de aqua inter cutẽ, & tabidis, & podagris, & his qui à morbo sacro appellato corripiuntur, hæc dico, ex aliqua quidem parte de omnibus idem. Nam qui hos morbos congeni-

| | |
|---|---|
| tos habet, is ægrè ab ipſis liberari poteſt. Reliqua verò ſingulatim ſcribam de ſingulis. | τέων τῶν νοσημάτων ἔστιν εἰδέναι δυσαπάλλακτον ἐόντα. τὰ δὲ ἄλλα καθ' ἕκαστον γράψω· |
| Eum qui ab hydrope, ſiue aqua inter cutem correptus eſt, & ſuperſtes eſſe volet, bonis viſceribus præditum eſſe oportet, ita vt natura ſe exerat, ſimúlq; facile cõcoquat, & bene ſpiret, ſitque ſine dolore, & totum corpus æqualiter tepidũ habeat, & non circa extremas partes colliquatum. Melius eſt auté vt tumores potius habeat in extremis partibus. Optimum verò eſt neutrum horum habere. Nam molles ac graciles eſſe cõuenit extremas partes, itéq; vẽtrẽ adcõtactũ mollẽ. tuſſim | Χρὴ δὲ τὸν ὑπὸ τοῦ ὕδρωπος ἐχόμενον, καὶ μέλλοντα περιέσεσθαι, εὔσπλαγχνόν τε εἶναι, καὶ ἀνατείνεσθαι καὶ φύσιν, ἅμα σιτέεσθαί τε εὐπετέως, εὔπνοόν τε ἐόντα, ἀνώδυνον εἶναι καὶ χλιαρὸν ὁμαλῶς πᾶν τὸ σῶμα ἔχειν, καὶ μὴ περιτετηκὸς περὶ τὰ ἔσχατα. κρέσσον δὲ ἐπάρματα μᾶλλον ἔχειν ἐν τοῖσιν ἀκρωτηρίοισιν. ἄριστον δὲ μηδέτερον τούτων· ἀλλὰ μαλακά τε χρὴ καὶ ἰσχνὰ εἶναι τὰ ἀκρωτήρια, καὶ τὴν γαστέρα μαλθακὴν εἶναι, ψαυομένην. βῆχα |

δὲ μὴ προσεῖναι, μηδὲ δίψαν, μηδὲ τὴν γλῶσσαν ἐπιξηραίνεσθαι, ἔν τε τῷ ἄλλῳ χρόνῳ, καὶ μετὰ τοὺς ὕπνους· γίνεται δὲ ταῦτα κάρτα. τὰ δὲ σιτία ἡδέως δέχεσθαι, καὶ ἐσθίοντα ἱκανὰ μὴ πονεῖσθαι. τὴν δὲ κοιλίην, πρὸς μὲν τὰ φάρμακα ὀξέην εἶναι· τὸν δ' ἄλλον χρόνον διαχωρέειν μαλθακὸν ἐκτετυπωμένον. τὸ δὲ οὖρον φαίνεσθαι παραμειβόμενον πρὸς τὰ ἐπιτηδεύματα, καὶ τῶν οἴνων τὰς μεταβολάς. τὴν δὲ ταλαιπωρίην εὐπετῶς φέρειν, καὶ ἄκοπον εἶναι. ἄριστον μὲν οὖν οὕτω πάντα διακεῖσθαι τὸν ἄνθρωπον, καὶ ἀσφαλέστατ' ἂν γίνοι

ſim verò adeſſe non oportet, neque ſitim, neque linguam reſiccari, tum reliquo tẽpore, tum poſt ſomnos, quando hæc valde fieri ſolent. At cibos lıbẽter accipere oportet, & vbi multũ ſatis comedit, non affligi. Aluum verò ad medicamenta quidẽ celerem habere: reliquo autem tempore egerere recrementũ molle efformatum. Vrinam autem apparere cõuenit pro ſtudiorum ratione, & vinorũ mutatione trãſeuntem. Laborem verò ferre oportet facile, & laſsitudinis exortem eſſe. at optimum quidem eſt hominem ita per omnia diſpoſitum eſſe, & ſic ſecuriſsimè ſanus fieri poterit. Sin

minus, plurima ex his habeat: nam ſpes erit vt ſuperſtes euadat. Qui verò nihil horum habuerit, ſed contraria, eum deſperatum eſſe ſcito: qui autem pauca horum habuerit, quæ bona eſſe dixi, ſi hydrope laborãti adſint, huic exiguæ ſpes reſtant. Cui verò multũ ſanguinis ſurſum ac deorſum eruperit, & febris inſuper acceſſerit, eum multa aqua repletũ iri timor eſt, atque hic hydrops breuiſsimi temporis eſt, & ex quo paucisſimi euadunt. Verùm de hoc alteri prius ſignificare oportet. at quibus magni tumores facti emarceſcũt, ac rurſus attollũtur, hi magis conualeſcũt

τὸ ὑγιής. εἰ δὲ μή, ὡς πλεῖστα τούτων ἐχέτω· ἐν γὰρ ἐλπίσι τ' ἔσαι περιγενέσθαι. ὃς δ' αὖ μηδὲν τούτων ἔχῃ, ἀλλὰ τὰ ἐναντία, ἀνέλπιστον ἐόντα εἰδέναι. ὃς δ' αὖ τούτων ὀλίγα ἔχῃ, ἃ φημὶ χρηστὰ εἶναι, τῷ ὑδρωπιῶντι προσόντα, ὀλίγαι γὰρ ἐλπίδες αὖ τῷ. ᾧ δ' αὖ αἱμορῥαγέῃ πολλὸν ἄνω καὶ κάτω, πυρετὸς ἐπιγίνηται, ὕδατος ἐμπλησθῆναι, πολλαὶ γὰρ ἐλπίδες τοῦτον, καὶ τῶν ὑδρώπων οὗτος ὀλιγοχρονιώτατός ἐστι καὶ ἐν τοῖσιν ἀφυκτοτάτοισιν. ἄλλως δὲ προσημαίνειν περὶ τούτου. οἷσι δὲ οἰδήματα μεγάλα γινόμενα καταμαραίνεται, καὶ αὖθις ἐπαίρεται, οὗτοι δὲ μᾶλλον περιγίνονται τῶν

ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἐμπιπλαμένων. ἐξαπατέουσι δὲ τοὺς ἀλγέοντας οὗτοι οἱ ὕδρωπες, ὥστε ποιέουσιν αὐτοὺς ἀπιόντας τοῖσιν ἰητροῖσιν ἀπόλλυσθαι.

Περὶ δὲ τῶν φθινόντων, κατὰ μὲν τὸ πτύελον καὶ τὴν βῆχα, ταῦτα λέγω, ἅπερ περὶ τῶν ἐμπύων ἔγραφον. χρὴ γὰρ τὸ πτύελον τῷ μέλλοντι καλῶς ἀπαλλάξειν, εὐπετέως τε ἀναβήσσεσθαι, καὶ εἶναι λευκὸν, καὶ ὁμαλὸν, καὶ ὁμόχροον, καὶ ἀφλέγμαντον. τὸ δ' ἀπὸ τῆς κεφαλῆς καταῤῥέον, εἰς τὰς ῥῖνας τρέπεσθαι. πυρετὸν δὲ μὴ λαμβάνειν, ὥστε τῶν δείπνων μὴ κωλύεσθαι, μηδὲ διψῆν. ἡ δὲ γαστὴρ ὑποχωρείτω πᾶσαν ἡμέρην,

quàm illi qui ex sanguinis eruptione implentur. Verùm fallũt hi hydropes ipsos ægrotos, faciúntque vt ipsi à medicis discedant ac pereant.

De tabescentibus, quod ad sputũ ac tussim attinet, eadem dico quę de pectore suppuratis scripsi. Oportet enim eum qui probè liberari volet, facilè sputum per tussim reijcere, & id esse album, & æquale, & eiusdem coloris, & ab inflammatione alienum. Quod verò à capite defluit, ad nares conuerti. febrem autem non inuadere, vt ne à cœnis prohibeatur, neque sitiat. Venter autem egerat quotidie

& id quod egerit ſit
durum: copia pro ra-
tione ciborũ ingeſto-
rum. hominem verò
quàm minimè tenuẽ
eſſe oportet. Pectus
autem laudare conue
nit quadrangulum,
& hirſutum. & os ip-
ſius paruum ſit, & ro-
buſte carnoſum. Qui-
cunque enim hæc om
nia habuerit, maximè
ſuperſtes erit: qui ve-
rò nihil horum habet,
interitui proximus.
Quicunque verò pe-
ctore ſuppurati facti
fuerint, dum iuuenes
ſunt, ex humorum il-
lapſu, aut fiſtula, aut
alio quopiam hu-
iuſcemodi, aut ex ab-
ſceſſus recurſu, hi non
euadunt, niſi valde
multa bona ſigna ipſis
acceſſerint. Pereunt autem homines hi

καὶ τὸ ὑποχωρέον ἔσω
σκληρόν· πλῆθος δὲ κατὰ
τὰ εἰσιόντα. τὸν δὲ ἄν-
θρωπον ὡς ἥκιστα λε-
πτὸν εἶναι. τὸ δὲ στῆθος
ἐπαινεῖν χρὴ τετρά-
γωνόν τε ἐὸν, καὶ λά-
σιον. καὶ ὁ χόνδρος αὐ-
τοῦ μικρὸς ἔσω, καὶ σε-
σαρκωμένος ἰσχυρῶς.
ὅς τις μὲν γὰρ ταῦτα
πάντα ἔχει, περιεστηκό-
τατος γίνεται· ὃς δ' ἂν
μηδὲν τούτων ἔχῃ, ὀλε-
θριώτατος. ὅσοι δ' ἂν
ἔμπυοι γένωνται, νέοι
ἐόντες ἐξ ἀποσκήψιος,
ἢ σύριγγος, ἢ ἀπ' ἄλ-
λου τινὸς τῶν τοιού-
των, ἢ ἐκ παλινδρο-
μίης ἀποστάσιος, οὐ πε-
ριγίνονται, ἢν μὴ πολ-
λὰ κάρτα αὐτοῖσιν ἐ-
πιγένηται τῶν ἀγαθῶν
σημείων. ἀπόλλυνται
δὲ οἱ ἄνθρωποι οὗτοι

ἐς τὸ φθινόπωρον. ἰσχυρῶς δὲ καὶ ἐκ τῶν ἄλλων νοσημάτων μακρῶν, ἐς τὴν ὥραν ταύτην τελευτῶσιν οἱ πλεῖστοι. τῶν δ' ἄλλων ἥκιστα περιγίνονται, αἵ τε παρθένοι, καὶ αἱ γυναῖκες, ᾗσιν ἀπολήψει ἐπιμηνίων ἡ φθίσις γένηται. εἰ δὲ μέλλοι τις περιέσεσθαι τῶν παρθένων, ἢ τῶν γυναικῶν, τῶν τε ἄλλων σημείων τῶν τε ἀγαθῶν δεῖ πολλὰ ἐπιγίνεσθαι, καὶ τὰ ἐπιμήνια λαμπρῶς τε καὶ καθαρῶς ἐπιφαίνεσθαι, ἢ οὐδεμία ἐλπίς.

Οἱ δὲ ἐκ τῶν αἱμάτων τῆς ἀναῤῥήξιος ἔμπυοι γινόμενοι τῶν τε ἀνδρῶν, καὶ τῶν γυναικῶν, καὶ τῶν παρθένων, περιγίνονται μὲν οὐχ ἧσσον. τὰ δὲ σημεῖα χρὴ πάντα ἀναλογισάμενον τά τε περὶ τῶν ἐμ-

ad autumnum. Sed & ex alijs morbis longis plerique ad hoc tempus maximè moriuntur. Cæterùm ex alijs minimè ſuperſtites manent & virgines, & mulieres, quibus ex ſuppreſsis menſibus tabes oborta eſt. Si verò aliqua virgo, aut mulier euaſura eſt, & aliorũ ſignorum bonorum multa accedere oportet, & menſes ſplendidè ac purè apparere, aut nulla ſpes eſt.

Qui verò ex ſanguinis eruptione, pectore ſuppurati fiunt, & viri, & mulieres, & virgines, non minus euadũt. verùm ſignis omnibus tum ſuppuratorum, tum tabeſcentiũ

collectis, & ſuperſtitẽ futurum, & periturũ prædicere oportet. maximè verò euadũt ex ſanguinis eruptione, hi quibus dolores ſunt atrabiliarij, & in dorſo & in pectore, & qui poſt eruptionem minus dolent. Nam & tuſſes non valde inſuper accedunt, & febres pleræque perſeuerant, ſitim facilè ferentes. At reuerſiones eruptionis ſanguinis maximè fiunt his, ſi non abſceſſus ſuccedant.

Optimi verò ſunt abſceſſus ſanguinolétiſſimi. Quibus autẽ in pectoribus dolores inſunt, & per tempus attenuantur, & tuſsiunt, ac difficulter ſpirant,

πύων καὶ τῶν φθινόντων, προλέγειν τόν τε περιεσόμενον καὶ τὸν ἀπολλύμενον. μάλιστα δὲ περιγίνονται ἐκ τῶν τοῦ αἵματος ἀναῤῥήξεων, οἷσιν αὖ ἀλγήματα ὑπάρχῃ μελαγχολικά, ἔν τε τῷ νώτῳ καὶ ἐν τῷ στήθει, καὶ μετὰ τὴν ἀναῤῥῆξιν ἀνωδυνώτεροι γίνωνται. βῆχές τε οὐκ κάρτα ἐπιγίνονται, καὶ πυρετοὶ οἱ πλεῖστοι διατελέουσιν ἐόντες, δίψαν εὐπετέως φέροντες. ὑποστροφαὶ δὲ τῆς ἀναῤῥήξιος μάλιστα γίνονται τούτοισιν, εἰ μὴ ἀποστάσιες ἐπιγίνωνται.

Ἄρισται δὲ τῶν ἀποστασίων αἱ αἱματηρόταται. ὁκόσοισι δὲ ἐν τοῖσι στήθεσιν ἀλγήματα ἔνεστι, καὶ διὰ χρόνου λεπτύνονταί τε καὶ βήσσουσι, καὶ δύσπνοιαι γίνονται, οὔ-

τε πυρετῶν ἐπιλαμβανόντων, οὔτε ἐκπυημάτων ἐπιγινομένων, τούτους ἐπανέρεσθαι, ὁκόταν βήσσωσί τι καὶ δύσπνοοι ἔωσι, εἰ καὶ ξυνεστραμμένον τι, καὶ μικρὰν ὀδμὴν ἔχον ἐκβήσσωσι.

Περὶ δὲ ποδαγριώντων τάδε. ὅσοι μὲν ἢ γέροντες, ἢ περὶ τοῖσιν ἄρθροισιν ἐπιπωρώματα ἔχουσιν, ἢ τρόπον ταλαίπωρον ζῶσι, κοιλίας ξηρὰς ἔχοντες, οὗτοι μὲν πάντες ἀδύνατοι ὑγιέες γίνεσθαι ἀνθρωπίνῃ τέχνῃ, ὅσον ἐγὼ οἶδα. ἰῶνται μὲν τούτους, ἄριστα μὲν δυσεντερίαι, ἢν ἐπιγίνωνται. ἀτὰρ καὶ ἄλλαι ἐκτήσιες ὠφελέουσι κάρτα, αἳ ἐς τὰ κάτω χωρία ῥέπουσαι. ὅστις δὲ νέος ἐστὶ, καὶ ἀμφὶ τοῖσιν ἄρθροισιν οὔπω ἐπιπωρώματα ἔχει,

neq; febribus insuper corripiẽtibus, neq; suppurationibus succedẽtibus, eos interrogare oportet, quũ tussiãt, & difficulter spirẽt, an & cõpactũ quiddã, & modicũ odorẽ habẽs tussi endoreijciãt.

De podagricis hæc dico: qui aut senes sunt, aut circa articulos callos tofaceos cõcretos habẽt, aut ærũnose viuunt aut siccã aluũ habẽt, hi omnes sani fieri nõ possunt humana arte, quãtũ ego noui. Sanãt quidẽ hos optimè dysenteriæ, si successerint. Sed & aliæ eliquationes valde psunt, quæ ad infernos locos repunt. qui verò iuuenis est, & circa articulos nõdũ tofaceos callos cõcretos habet,

& accuratè viuit, & laboris amans eſt, & aluum bonam habet ad obediendum pro ſtudiorum ratione, hic ſanè medicũ intelligentiam habẽtem nactus, ſanus fieri poterit.

Ex his porrò qui à ſacro morbo corripiũtur, difficillimè quidẽ liberantur hi quibus à puero contigit morbus, & ſimul ad virilem ætatem peruenit. Deinde hi quibus corpore in vigore ætatis conſtituto factus eſt, & fuerit à vigintiquinque annis, vſq; ad annum quadrageſimum quintum. Poſt hos autem, quibus factus fuerit morbus, nullam ſignificationẽ præbens ex qua corporis parte initium ſumat. At quibus ex capite initiũ ca-

καὶ τὸν βίοτον ὀρθὸν ἐπιμελής τε καὶ φιλόπονος, καὶ κοιλίας ἀγαθὰς ἔχων ὑπακούειν πρὸς τὰ ἐπιτηδεύματα, οὗτος δὴ ἰητροῦ γνώμην ἔχοντος ἐπιτυχὼν, ὑγιὴς ἂν γένοιτο.

Τῶν δ' ἀπὸ τῆς ἱερῆς νόσου λαμβανομένων, χαλεπώτατοι τῶν ἐξίστασθαι, ὁκόσοισι δ' ἂν ἀπὸ παιδὸς ξυμβήσηται, καὶ συνανδρωθῇ τὸ νόσημα. ἔπειτα δὲ ὅσοισιν ἂν γένηται ἐν ἀκμάζοντι τῷ σώματι τῆς ἡλικίης. εἴη δ' οὖν ἀπὸ εἴκοσι καὶ πέντε ἐτέων, ἐς πέντε τε καὶ τεσσαράκοντα ἔτεα. μετὰ δὲ τούτους, ὅσοις ἂν γένηται τὸ νόσημα μηδὲν προσημαῖνον ὁκόθεν ἄρχεται τοῦ σώματος. οἷσι μὲν ἀπὸ τοῦ

κεφαλῆς δοκέει ἄρχεσθαι, ἢ ἀπὸ τοῦ πλευροῦ, ἢ ἀπὸ τῆς χειρὸς, ἢ ποδὸς, εὐπετέστερα ἰᾶσθαι. διαφέρει γὰρ καὶ ταῦτα· τὰ γὰρ ἀπὸ τῆς κεφαλῆς, τούτων χαλεπώτατα· ἔπειτα τὰ ἀπὸ τοῦ πλευροῦ. τὰ δὲ ἀπὸ τῶν χειρῶν τε καὶ τῶν ποδῶν, μάλιστα οἷά τε ἐξυγιαίνεσθαι. ἐπιχειρέειν δὲ χρὴ τουτέοισι τὸν ἰητρὸν, εἰδότα τὸν τρόπον τῆς ἰήσιος, ἢν ἔωσιν οἱ ἄνθρωποι νέοι τε καὶ φιλόπονοι· πλὴν ὅσον αἱ φρένες τι κακὸν ἔχουσιν, ἢ εἴ τις ἀπόπληκτος γένηται· αἱ μὲν γὰρ μελαγχολικαὶ αὗται ἐκστάσιες, οὐ λυσιτελέες. αἱ δὲ ἄλλαι, αἱ εἰς τὰ κάτω τρεπόμεναι, πᾶσαι ἀγαθαί. ἄρισται δὲ καὶ ἐν-

pere videtur, aut à latere, aut à manu, aut pede, facilius curatur. Verùm differũt etiam hęc morbi genera. qui enim à capite initium ſumunt, ex his grauiſſimi ſunt: deinde qui à latere. Qui verò à manibus ac pedibus, maximè ſanari poſſunt. Cęterùm horum curam aggredi oportet medicum, qui medendi modum nouit, ſi homines fuerint iuuenes, & laboris amãtes, niſi mens mali aliqd habuerit, aut quis ſtupore attonito ſideratus fuerit. Nam hæ atrabiliariæ mentis emotiones, non ſunt conducibiles. Alij verò qui ad infernas partes conuertuntur abſceſſus, boni ſunt. Lõgè verò optimi & hîc sũt

qui ſunt ſanguinolentiſsimi. Quicunq; verò ſenes apprehēdi incipiunt, maximè moriūtur. & ſi nō pereāt, ſtatim celerrimèq; , ꝑ ſe liberantur: à medicis autem minimè opem ferunt.

At quibu spueris oculi repentè diſtorti fuerunt, aut maius quoddam malum perpeſsi sūt, aut tubercula ſub ceruicem obortaſunt, aut vocē graciliorem adepti ſunt, aut tuſſes ſiccæ diuturnę adhęrent, aut maioribus factis dolor ꝓcedit ad ventrem, & non exturbatur, aut in lateribus diſtortiones habent, aut venas craſsas circa vētrem varicoſas, aut omentum deſcendit, aut teſtis magnus fa-

ταῦθα πολλῷ, αἱ αἱματηρότεραι. ὁπόσοι δὲ γέροντες ἤρξαντο λαμβάνεσθαι, ἀποθνήσκουσί τε μάλιστα· καὶ ἢν μὴ ἀπόλωνται, τάχιστα ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου. ὑπὸ δὲ τῶν ἰητρῶν ἥκιστ' ὠφελέονται.

Οἷσι δὴ τῶν παιδίων ἐξαπίνης οἱ ὀφθαλμοὶ διεστράφησαν, ἢ μεῖζόν τι κακὸν ἔπαθον, ἢ φύματα ὑπὸ τὸν αὐχένα ἐφύη, ἢ ἰσχνοφωνότεροι ἐγένοντο, ἢ βῆχες ξηραὶ χρόνιαι προσέχουσιν, ἢ ἐς τὴν γαστέρα μείζοσι γενομένοισιν ὀδύνη φοιτᾷ, καὶ οὐκ ἐκταράσσεται, ἢ ἐν τοῖσι πλευροῖσι διαστρέμματα ἔχουσιν, ἢ φλέβας παχέας περὶ τὴν γαστέρα κιρσώδεας, ἢ ἐπίπλοον καταβαίνει, ἢ ὄρχις μέγας γενό-

νεν, ἢ χεὶρ λεπτὴ καὶ ἀκρατὴς, ἢ πούς, ἢ κνήμη ξύμπασα ἐχωλώθη, ἄτερ προφάσιος ἄλλης, τούτοισι πᾶσιν εἰδέναι ὅτι ἡ νοῦσος προεγένετο πρὸ τούτων ἁπάντων. καὶ οἱ μὲν πλεῖστοι τῶν τρεφόντων τὰ παιδία, ἐρωτώμενοι ὁμολογήσουσι· τοὺς δὲ καὶ λανθάνει, καὶ οὔ φασιν εἰδέναι τοιοῦτον οὐδὲν γενόμενον.

Τὸν δὲ περὶ τῶν ἑλκέων μέλλοντα γνώσεσθαι, ὅκως ἕκαστα τελευτήσει, πρῶτον μὲν χρὴ τὰ εἴδεα τῶν ἀνθρώπων ἐξεπίστασθαι, τά τε ἀμείνω πρὸς τὰ ἕλκεα, καὶ τὰ κακίω. ἔπειτα τὰς ἡλικίας εἰδέναι, ὅσοι ἦσιν ἕκαστα τῶν ἑλκέων δυσαπάλλακτα γίνεται·

ctus eſt, aut manus tenuis & impotens, aut pes aut tibia tota clauda facta eſt, citra aliã cauſam: his omnibus morbum antea factum fuiſſe, ſcire oportet, præ his vniuerſis. Et plurimi qui pueros educant, ſi interrogentur, confitebuntur: quoſdam verò etiam res latet, negántque ſe ſcire quicquam tale factum eſſe.

Qui porrò de vlceribus cognoſcere volet, quomodo ſingula finient, eũ primùm hominum ſpecies perſcrutari oportet, tum eas quæ meliores ſunt ad vlcera, tum quæ deteriores. Deinde ætates noſſe, in quibus ſingula vlcera curatu difficilia exiſtũt.

Locos item in corporibus perspectos habere, quantum alij ab alijs differunt. Sed & alia qualia in singulis accedunt, tum bona, tum mala, nosse oportet. Si quis enim omnia hæc nouerit, is sanè sciet etiam quomodo singulorum euentus continget: qui verò non nouerit hæc, nõ nosse poterit quales fines vlcerũ erunt. Species equidem bonę sunt hæ, Leues, & commoderatæ, & bonis visceribus prædite, & neq; valde carnosę, neq; durę. iuxta colorē verò sit species alba aut nigra, aut rubens: hæ enim omnes bonę sunt, si puræ sunt. Si verò pallidus color ammixt' fuerit, aut color ipse pallidus, aut liuidús fuerit,

τά τε χωρία ἐπεσκέφθαι τὰ ἐν τοῖσι σώμασιν, ὅσον διαφέρει θάτερα θατέρων· τά τε ἄλλα ὁκοῖά τε ἐφ' ἑκάστοισιν ἐπιγίνεται, ἀγαθά τε καὶ κακὰ, εἰδέναι. εἰδὼς μὲν γὰρ ἄν τις ταῦτα πάντα, εἰδείη ἂν καὶ ὅκως ἕκαστα ἀποβήσεται· μὴ εἰδὼς δὲ ταῦτα, οὐκ ἂν εἰδείη ὅκως αἱ τελευταὶ ἔσονται ἀμφὶ τῶν ἑλκέων. εἴδεα μὲν γὰρ ἀγαθὰ ἐστὶ τὰ τοιάδε, ἐλαφρὰ, καὶ ξύμμετρα, καὶ εὔσπλαγχνα, καὶ μήτε σαρκώδεα ἰσχυρῶς, μήτε σκληρά· κατὰ δὲ χρῶμα ἔστω λευκὸν, ἢ μέλαν, ἢ ἐρυθρόν· ταῦτα γὰρ πάντα ἀγαθὰ, ἄκριτα ἐόντα. εἰ δ' εἴη μιξόχλωρον, ἢ χλωρὸν ἢ πελιδνὸν τὸ χρῶμα,

κάκιον γίνεται. τὰ δὲ εἴδεα ὅσα αὖ τοῖσι προγεγραμμένοισι τἀναντία περιφύκῃ, εἰδέναι χρὴ κακίω ἐόντα.

Περὶ δὲ ἡλικιῶν, φύματα μὲν ἔμπυα γίνεται, καὶ τὰ χοιρώδεα ταῦτα πλεῖστα τῶν παιδίων ἴσχουσι, καὶ ῥᾷστα ἐξ αὐτέων ἀπαλλάσσει· τοῖσι δὲ γεραιτέροισί τε τῶν παιδίων, καὶ νεηνίσκοισι. φύεται μὲν ἐλάσσω, χαλεπώτερον δὲ ἐξ αὐτέων ἀπαλλάσσουσι. τοῖσι δὲ ἀνδράσι, τὰ μὲν τοιαῦτα φύματα οὐ κάρτα ἐπιγίνεται· τὰ δὲ κηρία, δεινὰ, καὶ οἱ κρυπτοὶ καρκίνοι οἱ ὑποβύχιοι, καὶ οἱ ἐκ τῶν ἐπινυκτίδων ἕρπητες, ἐς ἂν ἑξήκοντα ἔτεα συχνῷ ὑποβάλλωσι. τοῖσι δὲ γέρουσι, τῶν μὲν τοιου-

peius eſt. Species verò quæ præſcriptis contrariæ ſunt, eas deteriores eſſe ſcito.

At verò quod ad ætates attinet, tubercula quidem ſuppurata fiunt, & ſtrumoſa hæc plurimos pueros occupãt, & facillimè ex ipſis liberantur: ſenioribus verò pueris & adoleſcentibus, minus quidem oriuntur, verùm difficilius ab ipſis liberantur. Viris autem talia quidem tubercula nõ valde fiũt, verum ceria Græcis dicta, ad modum faui concreta, horrenda: & cancri occulti ſubmerſi, & ex puſtulis nocturnis herpetes, donec ſexaginta annos tranſmiſerint. Senibus autẽ nihil talium

tuberculorũ accedit, verùm cancri & occulti, & summas partes occupantes, & commoriuntur.

τοτρόπων φυμάτων οὐδὲν ἐπιγίνεται· οἱ δὲ καρκίνοι οἱ κρυπτοὶ, καὶ οἱ ἀκρόπαθοι γίνονται, καὶ ξυναποθνήσκουσι.

Cæterũ ex locis, subalares difficiliores curatu sunt, & laterum mollitudines, ac femora. Nam & moræ in ipsis fiunt, & recidiuæ.

Τῶν δὲ χωρίων, μασχάλαι δυσιηθέστεραι, καὶ κενεῶνές τε καὶ μηροί· ἀποστάσιές τε γὰρ ἐν αὐτοῖσι γίνονται, καὶ ἀποστροφαί.

Ex articulis periculosissimi sunt magni digiti, & præsertim pedũ.

Τῶν δὲ περὶ ἄρθρα, ἐπικινδυνότατοι οἱ μεγάλοι δάκτυλοι, καὶ μᾶλλον οἱ τῶν ποδῶν·

Quibus autem in obliqua linguæ parte vlcus fit diuturnum, in his dentes cõsiderare oportet, anquis iuxta illam vlceris partem acutior sit.

Οἷσι δὲ τῆς γλώττης ἐν τῷ πλαγίῳ ἕλκος γίνεται πολυχρόνιον, καταμαθεῖν τῶν ὀδόντων, ἤν τις ὀξὺς τῶν κατ' αὐτό.

Vulnera magis letalia sunt, quæ in venas crassas, in collo ac inguinibus infligũtur: deinde quæ in cerebrum, & in hepar:

Τὰ δὲ τρώματα, θανατωδέστερα μὲν τὰ ἐς τὰς φλέβας τὰς παχείας, τὰς ἐν τῷ τραχήλῳ τε καὶ τοῖς βουβῶσιν· ἔπειτα ἐς τὸν ἐγκέφαλον, καὶ ἐς τὸ ἧπαρ· ἔπει

τα τὰ ἐς ἔντερον καὶ ἐς κύστιν. ἔστι δὲ ταῦτα πάντα ὀλέθρια ἐόντα ἰσχυρῶς, οὐχ οὕτως ἄφυκτα ὡς δοκέει· τά τε γὰρ χωρία ὀνόματα ἔχοντα ταῦτα, μέγα διαφέρει, καὶ οἱ αὐτοὶ τρόποι. πολὺ δὲ διαφέρει τοῦ αὐτοῦ ἀνθρώπου τοῦ σώματος ἡ παρασκευή· ἔστι μὲν γὰρ ὅτε οὔτ' ἂν πυρετήνειεν, οὔτε φλεγμήνειεν τρωθείς· ἔστι δ' ὅτε καὶ ἄνευ προφάσιος ἐπυρέτηνεν ἄν, καὶ φλεγμανθείη τι τοῦ σώματος πάντως. ἀλλ' ἢν ὅτε ἕλκος ἔχων παραφρονέει, εὐπετέως τε φέρει τὸ τρῶμα, ἐγχειρέειν χρὴ τῷ σώματι ὡς ἀποβησομένῳ κατὰ λόγον τῆς ἰητρείης τε, καὶ τῶν ἐπιγινομένων·

poſtea quæ in inteſtinum & veſicam. Sunt autem hęc omnia perniciosa valde, non tamen ita vt nemo ex his euadat. velut putatur. Nam & loci qui hæc nomina habent, multum inter ſe differunt, & ijdem modi. multum etiam differt corporis ipſius hominis ſtructura. Aliquando enim neq; febricitat, neque inflammatur ſauciatus: aliquando etiam citra cauſam febricitat, & aliqua corporis pars omnino inflammatur. At quando is qui vlcus habet, delirat, & facile fert vulnus, tūc vulnus aggredi oportet, velut iuxta medicinæ & accedentiū rationē, euētū habiturū.

moriuntur enim homines ab omnis generis vulneribus: multæ enim venæ ſunt, & tenues, & craſſę, quę ſanguinem fundentes occidũt, ſi gliſcere ac eo ferri ipſas contigerit, quas alia temporis occaſione ſi quis pertundat, corporibus prodeſſe ſentiat.

Multa verò vulnera in locis vilibus ac non malis eſſe, & nulla re grauia videntur, & tamen ſic dolore affligit plaga, vt reſpirare non poſsit. Alij verò præ vulneris dolore, quod ſanè graue nulla re erat, ſpiritum quidem duxerunt, verùm delirarunt, & febrientes mortui ſunt. Quicunque enim aut corpus febricitans ha-

ἀποθνήσκουσι μὲν γὰρ οἱ ἄνθρωποι ἀπὸ τρωμάτων παντοίων· πολλαὶ μὲν γὰρ φλέβες εἰσὶ, καὶ λεπταὶ, καὶ παχεῖαι, αἵτινες αἱμοῤῥαγοῦσαι ἀποκτείνουσιν, ἢν αὐτοῦ τύχωσιν ὀργῶσιν· ἃς ἐν ἑτέρῳ καιρῷ διακόπτοντες ὠφελέουσι τὰ σώματα.

Πολλὰ δὲ τῶν τρωμάτων ἐν χωρίοισί τε εἶεν εὐηθέσι, καὶ οὐδέν τι δεινὰ φαινόμενα, οὕτως ὠδύνησεν ἡ πληγὴ, ὥστε μὴ δύνασθαι ἀναπνεῦσαι. ἄλλοι δὲ ὑπὸ τῆς ὀδύνης τοῦ τρώματος, οὐδὲν δή τι δεινοῦ ἐόντος, τὸ μὲν πνεῦμα ἀνήνεγκαν· παρεφρόνησαν δὲ, καὶ πυρετήναντες ἀπέθανον. ὅσοι γὰρ ἂν ἢ τὸ σῶμα πυρετῶδες ἔχωσι,

σιν, ἢ τὰς γνώμας θορυβώδεας, τὰ τοιαῦτα πάσχουσιν. ἀλλὰ χρὴ μήτε ταῦτα θαυμάζειν, μήτε ὀῤῥωδέειν, κεῖνα εἰδότα, ὅτι αἵ ψυχαί τε καὶ τὰ σώματα πλεῖστον διαφέρουσιν αἱ τῶν ἀνθρώπων, καὶ δύναμιν ἔχουσι μεγίστην. ὅσα δὲ οὖν τῶν τρωμάτων καιροῦ ἔτυχεν, ἢ σώματός τε καὶ γνώμης τοιαύτης, ἢ ὀργῶντος οὕτω τοῦ αἵματος, ἢ μέγεθος τοσαῦτα ἦ, ὥστε μὴ δύνασθαι καταστῆσαι τὸν ἄνθρωπον εἰς τὴν ἴησιν καταφρονέοντα, τοῖσι μὲν ἐξίστασθαι χρὴ ὁποῖα ἂν ᾖ, πλὴν τῶν ἐφημέρων λειποθυμιῶν· τοῖσι δ' ἄλλοισι πᾶσιν ἐπιχειρέειν, νεοτρώτοισιν ἐοῦσιν, ὡς ἂν τούς τε πυ-

bent, aut mentem turbatam, talia patiuntur. Sed neq; hæc admirari oportet, neq; formidare, illud expendẽdo, quòd & animæ & corpora hominum plurimum differunt, & vim maximã habent. Quæcunque igitur vulnera tẽpus nanciſcũtur, aut corpus & mẽtem huiuſmodi, aut ita gliſcentem ſanguinem, aut magnitudine tanta fuerint, vt homo ad curationẽ adduci ab eius contemptu non poſsit, ab his qui dẽ diſcedere oportet, qualiacunq; tandem fuerint, diarijs animi deliquijs exceptis: alia verò omnia aggredi, quæ recens ſunt incuſſa, quo & fe-

bres effugiant homines, & ſanguinis eruptiones, & nomas vlcerum proſerpẽtes, hi qui euadent. Exactiſſimè verò & ad plurimum tempus, eorum quæ grauiſsima ſunt cuſtodiã facere oportet: nam ita facere iuſtum eſt.

At verò nomæ letaliſsimæ ſunt, quarum putredines profundiſſimę, & nigerrimę, ac ſicciſsimæ exiſtunt. Prauæ etiã ſunt ac periculoſę, quæ nigram ſaniem remittunt. Albæ verò ac mucoſæ putredines, minꝰ quidem occidunt, magis autem reuertũtur, & diuturniores ſunt.

Herpetes autẽ minimè omniũ vlcerum quæ depaſcendo proſerpũt, periculoſi ſunt:

ρετοὺς διαφεύγωσιν οἱ ἄνθρωποι, καὶ τὰς αἱμοῤῥαγίας τε καὶ τὰς νομὰς περιεσομένων. ἀτρεκέστατα δὲ καὶ ἐπὶ πλεῖστον χρόνον τὰς φυλακὰς αἰεὶ τῶν δεινοτάτων ποιέεσθαι· καὶ τὸ δίκαιον οὕτως.

Αἱ δὲ νομαὶ, θανατωδέσταται μὲν, ὧν αἱ σηπεδόνες βαθύταται, καὶ μελάνταται, καὶ ξηρόταται. πονηραὶ δὲ καὶ ἐπικίνδυνοι, ὅσαι μέλανα ἰχῶρα ἀναδιδοῦσιν. αἱ δὲ λευκαὶ καὶ μυξώδεες τῶν σηπεδόνων, ἀποκτείνουσι μὲν ἧσσον, ἀποστρέφουσι δὲ μᾶλλον, καὶ χρονιώτεραι γίνονται.

Οἱ δ' ἕρπητες ἀκινδυνότατοι πάντων ἑλκέων ὅσα νέμεται.

δυσαπάλλακτοι δὲ μάλιστα, κατά γε τοὺς κρυπτοὺς καρκίνους. Ἐπὶ πᾶσι δὲ τοῖσι τοιουτέοισι, πυρετόν τε ἐπιγίνεσθαι ξυμφέρει μίην ἡμέρην, καὶ πῦον ὡς λευκότατον καὶ παχύτατον. λυσιτελεῖ δὲ καὶ σφακελισμὸς νεύρου, ἢ καὶ ὀστέου, ἢ καὶ ἀμφοῖν, ἐπί τε τῇσι βαθείῃσι σηπεδόσι καὶ μελαίνῃσι· πῦον γὰρ ἐν τοῖσι σφακελισμοῖσι ῥεῖ πουλὺ, καὶ λύει τὰς σηπεδόνας.

Τῶν δὲ ἐν κεφαλῇ τρωμάτων, θανατωδέστατα μὲν τὰ ἐς τὸν ἐγκέφαλον, ὡς καὶ προγέγραπται· δεινὰ δὲ καὶ τὰ τοιαῦτα πάντα· ὀστέον ψιλὸν μέγα, ὀστέον ἐγκεκλασμένον, ὀστέον κατερῥωγός.

verùm maximè difficulter ſubmoueri poſſunt, quemadmodum cācri occulti. In omnibus autem talibus febrem ſuperuenire vna die cōfert, & pus quàm albiſsimum ac craſsiſimū. Commodat & corruptio nerui, aut etiam oſsis, aut etiam amborum, tum in profundis, tū in nigris putredinibus. nam in corruptionibus pus multū fluit, & putredines ſoluit.

Porrò ex capitis vulneribus letaliſsima ſunt quæ ad cerebrū pertingunt, velut etiam antea ſcriptum eſt. Grauia ſunt & huiuſmodi omnia: os nudum magnū, os infractum, os diffractū.

Si verò etiam osculū vlceris paruum fuerit, fissura verò ossis aliquandiu permanserit periculosius est. Hæc autē omnia grauiora fiunt, si & iuxta suturam sunt, & ex locis semper periculosiores summi in capite existunt. Cæterùm in omnibus memorabilibus vulnerib⁹ interrogare oportet, si adhuc recentes fuerint plagæ, aut etiam iactus fuerint, an conciderit homo, aut an in soporē altiorē collapsus sit. Si enim horum quippiā factū fuerit, āpliore custodia opus habet, nimirum quum cerebrū vulnus tūc perceperit. Si verò non recens sauciatus fuerit, ad alia signa respicere oportet, ac consilium capere.

εἰ δὲ καὶ τὸ στόμα τοῦ ἕλκεος σμικρὸν εἴη, ἡ δὲ ῥωγμὴ τοῦ ὀστέου ἐπὶ πολὺ παραμένοι, ἐπικινδυνότερόν ἐστι. ταῦτα δὲ πάντα δεινότερα γίνεται, καὶ κατὰ ῥαφήν τε ὄντα, καὶ τῶν χωρίων αἰεὶ τὰ ἐν τοῖσιν ἀνωτάτω τῆς κεφαλῆς. πυνθάνεσθαι δὲ χρὴ ἐπὶ πᾶσι τοῖσιν ἀξίοις λόγου τρώμασιν, ἢν ἔτι νεότρωτοι αἱ πληγαὶ ἔωσιν, ἢ βλήματα εἴη, εἰ κατέπεσεν ὤνθρωπος, ἢ εἰ ἐκαρώθη. ἢν γάρ τι τούτων ᾖ γεγονός, φυλακῆς πλείονος δεῖται, ὡς τοῦ ἐγκεφάλου ἐσακούσαντος τοῦ τρώματος. εἰ δὲ μὴ νεότρωτος εἴη, ἐς τἄλλα σημεῖα σκέπτεσθαι καὶ βουλεύεσθαι.

Ἄριστον μὲν οὖν μήτε πυρετῆναι τὸν τὸ ἕλκος ἔχοντα ἐν τῇ κεφαλῇ, μήθ' αἷμα ἐπαναῤῥαγῆναι αὐτῷ, μὴ δὲ φλεγμονὴν, μήθ' ἅμα μηδεμίην ὀδύνην ἐπιγενέσθαι. εἰ δέ τι τούτων ἐπιφαίνοιτο, ἐν ἀρχῇσί τε γίνεσθαι ἀσφαλέστατον, καὶ ὀλίγον χρόνον παραμένειν. ξυμφέρει δὲ ἐν τῇσιν ὀδύνῃσι καὶ τὰς φλεγμονὰς τὰς ὑπὸ τοῖσιν ἕλκεσιν ἐπιγίνεσθαι. τῇσι δ' αἱμοῤῥαγίῃσι, πῦον ὑπὸ τῇσι φλεψὶ φαίνεσθαι. οἷσι δὲ πυρετοῖσιν ἃ ἐν τοῖσιν ὀξέσι νοσήμασιν ἔγραψα, ξυμφέρει ὑπὸ τούτοισι γίνεσθαι ταῦτα. καὶ ἐνθάδε λέγω ἀγαθὰ εἶναι· τὰ δ' ἐναντία, κακά. ἄρξασθαι δὲ

Optimũ quidem igitur est, neque febrire eum qui vlcus in capite habet, neq; sanguinem insuper ipsi erupisse, neq; inflammationem, neque simul vllum aliquem dolorem accessisse. Si verò quid horum apparuerit, securissimum est vt in prĩcipio fiat, & modico tempore permaneat. Cõducit autem in doloribus, etiam inflammationes ex vlceribus accedere: in sanguinis autem eruptionibus, pus in venis apparere. quę verò in acutis morbis conferre febribus scripsi, ea etiam in his fieri conducit, & eadem hic quoq; bona esse assero, contraria verò mala. At incipere febrem in capitis

vulnere quarta die, aut ſeptima, aut vndecima, valde letale eſt. Iudicatur autem pleriſq;, ſi quidem quarta vulneris die febris inceperit ad vndecimam. Si verò ſeptima die febris inchoarit, ad decimam quartam, aut decimam ſeptimam. Si verò vndecimo febrire inceperit, ad vigeſimam, quemadmodum in febribus deſcriptum eſt, quæ abſque manifeſtis cauſis fiunt. Cæterùm in principijs febrium, ſiue delirium acceſſerit, ſiue alicuius membri ſideratio, periturum hominem ſciendũ eſt, ſi nõ omnino aut ex optimis ſignis aliquod ac-

πυρετὸν ἀπὸ κεφαλῆς τρώσει τεταρταίῳ, ἢ ἑβδομαίῳ, ἢ ἑνδεκαταίῳ, θανατῶδες μάλα. κρίνεται δὲ τοῖσι πλείστοισιν, ἢν μὲν τεταρταίου ἐόντος τοῦ ἕλκεος, πυρετὸς ἄρξηται, ἐς τὴν ἑνδεκάτην· ἢν δ' ἑβδομαῖος ἐὼν πυρετήνῃ, ἐς τὴν τεσσαρεσκαιδεκάτην, ἢ ἑπτακαιδεκάτην. ἢν δὲ τῇ ἑνδεκάτῃ ἄρξηται πυρεταίνειν, ἐς τὴν εἰκοστὴν, ὡς ἐν τοῖσι πυρετοῖσι διαγέγραπται, τοῖς ἄνευ προφάσεων ἐμφανέων γινομένοισι. τῇσι δ' ἀρχῇσι τῶν πυρετῶν, ἤν τε παραφροσύνη ἐπιγένηται, ἤν τε ἀπόπληξις τῶν μελέων τινὸς, εἰδέναι τὸν ἄνθρωπον ἀπολλύμενον, ἢν μὴ πάντα πᾶσιν, ἢ τῶν κρατίστων τι

σημεῖον ἐπιγίνηται, ἢ σώματος ἀρετὴ ὑποκέηται. ἀλλ' ἀποσκεπτέσθω τὸν τρόπον. τῷ ἀνθρώπῳ μὲν ἔτι αὐτὴ ἐλπὶς γίνεται σωτηρίας· χωλὸν δὲ γενέσθαι τὸ ἄρθρον ἐς ὃ ἀπεστήριξεν, ἀναγκαῖόν ἐστιν, ἢν ἄρα καὶ περιγίνηται ὁ ἄνθρωπος.

Τὰ δὲ τρώματα τὰ ἐν τοῖσιν ἄρθροισι, μεγάλα μὲν ὄντα καὶ τελέως ἀποκόπτοντα τὰ νεῦρα τὰ συνέχοντα, εὔδηλον ὅτι χωλοὺς ἀποδείξει. εἰ δὲ ἐνδοιαστὸν εἴη ἀμφὶ τῶν νεύρων, ὅπως ἔχοι, ὀξέος μὲν ἐόντος τοῦ βέλεος τοῦ ποιήσαντος ὀρθὸν τὸ τρῶμα [illegible] ἄμεινον ἐπικαρσίου. εἰ δ' εἴη βαρύ τε καὶ ἀμβλὺ τὸ τρῶσαν, οὐδὲν διαφέρει. ἀλλ' ἔσται βάθος τε τῆς πληγῆς

cedat, aut corporis vires adſint. Verũ conſiderabis modũ. Nam homini adhuc ſpes ſalutis: ſed claudum fieri articulum in quem incubuit neceſſe eſt, etiamſi ſuperſtes maneat homo.

Porrò vulnera in articulis, quæ quidẽ magna ſunt, & neruos coniungentes penitus preſecant, clarum eſt quòd claudos efficient. Si verò ambiguum fuerit de neruis, quomodo ſe habeant, ſi quidem acutum telum quod rectum vulnus fecit, melius eſt obliquo. Si verò graue & obtuſum fuerit id quod vulnerauit, nihil refert. Sed plagę profunditatem & alia ſigna

considerare licebit. Sunt autem hæc: pus si insuper accedat ad articulum, duriorem fieri necesse est. Si verò etiam tumores simul permãserint, hũc locum ad multũ tempus durum esse necesse est: & quum sanum iam est vlcus, tumorẽ permanere necessarium est, simúlque flecti ac extendi, quęcunque dum articulus incuruus est, curantur. Quibus verò etiam neruus elapsurus esse videtur, securius de claudicatione prædicere licet, tum aliàs, tum si inferiorũ neruorũ aliquis fuerit exolutus. Ex hís autem cognosces neruum qui excidet: pus albũ & crassũ, multo

σκέπτεσθαι καὶ τἄλλα σημεῖα. ἔστι δὲ τάδε· πῦον ἢν ἐπιγένηται ἐπὶ τὸ ἄρθρον, σκληρότερον ἀνάγκη γενέσθαι. ἢν δὲ καὶ οἰδήματα συμπαραμένῃ, σκληρὸν ἀνάγκη πουλὺν χρόνον περὶ τὸ χωρίον γίνεσθαι· καὶ τὸ οἴδημα ὑγιέος ἐόντος τοῦ ἕλκεος, παραμένειν ἀνάγκη, συγκάμπτεσθαί τε καὶ ἐκτείνεσθαι, ὁκόσα ἂν τοῦ ἄρθρου καμπύλου ἐόντος θεραπεύηται. οἷσι δ' ἂν καὶ νεῦρον δοκέῃ ἐκπεσεῖσθαι, ἀσφαλεστέρως τὰ περὶ τῆς χωλώσιος ἢ προλέγειν· ἄλλως τε καὶ ἢν τῶν κάτωθεν νεύρων ἢ τὸ ἐκλυόμενον. γνώσῃ δὲ τοῖσι νεῦρον μέλλον ἐκπίπτειν, πῦον λευκόν τε καὶ παχὺ, καὶ πουλὺ

χρόνον ἀπορρέει, ὀδύναι τε καὶ φλεγμοναὶ γίνονται περὶ τὸ ἄρθρον ἐν ἀρχῇσι. τὰ δ᾽ αὐτὰ ταῦτα γίνεται καὶ ὀστέου μέλλοντος ἐκπεσεῖσθαι.

Τὰ δὲ ἐν τοῖσι ἀγκῶσι διακόμματα, ἐν φλεγμονῇ μάλιστα ἐόντα, ἐς διαπύησιν ἀφικέεται, καὶ τομάς τε καὶ καύσιας.

Ο δὲ νωτιαῖος μυελὸς ἤν κοσέῃ, ἤν τε ἐκ πτώματος, ἤν τε ἐξ ἄλλης τινὸς προφάσιος, ἤν τε ἀπὸ αὐτομάτου, τῶν τε σκελέων ἀκρατὴς γίνεται ὁ ἄνθρωπος, ὥστε μηδὲ θιγγανόμενος ἐπαΐειν, καὶ τῆς γαστρὸς καὶ τῆς κύστιος, ὥστε τοὺς μὲν πρώτους χρόνους, μήτε κόπρον, μήτε οὖρον διαχωρέειν, ἢν μὴ πρὸς ἀνάγκην. ὅταν δὲ πα-

tempore defluit, doloréſque ac inflãmationes circa articulũ in principijs fiũt. Eadem fiunt etiam ſi os elabetur.

At verò diſſectiones in cubiti gibbis, prçſertim quç ſunt cũ inflãmatione, ad ſuppurationem perueniunt, ſectionéſq; ac vſtiones.

Medulla verò ſpinæ ſi ægrotarit, ſiue ex lapſu, ſiue ex alia aliqua cauſa, ſiue ſua ſponte, homo & cruribus impotens fit, vt neq; ſi tangatur percipiat, & ventre ac veſica, vt circa prima tẽpora, neque ſtercus, neque vrinam egerat, niſi ad neceſsitatem. quum autem ve

tustior factus fuerit morbus, non vrgente homine, & stercus ꝓdit, & vrina. Moritur autem postea, nõ multo interposito tẽpore.

Quòd si verò cuipiam fauces implentur sanguine sæpe singulis diebus ac noctibus, neque caput antea doluit, & qui neq; tussim habuit, neque vomuit, neque febre correptus fuit, neque dolorem habuit, nec pectoris, nec dorsi, huius considerandę sunt nares, & fauces, an vlcus aliquod habere compareat in hoc loco, aut hirudinem.

Oculi porrò lippientes optime permutantur, si & lachryma,

λαιότερον γένηται τὸ νόσημα, οὐκ ἐπιόντι τῷ ἀνθρώπῳ, ἤ τε κόπρος διαχωρέει, καὶ τὸ οὖρον. ἀποθνήσκει δὲ μετὰ ταῦτα, οὐ πολλῷ ὕστερον χρόνῳ.

Ὧν δὲ ἐμπίπλαται αἵματος ἡ φάρυγξ πολλάκις τῆς ἡμέρης τε καὶ τῆς νυκτὸς ἑκάστης, οὔτε κεφαλὴν προαλγήσαντι, οὔτε βηχὸς ἐχούσης, οὔτε ἐμέοντι, οὔτε πυρετοῦ λαμβάνοντος, οὔτε ὀδύνης ἐχούσης, οὔτε τοῦ στήθεος, οὔτε τοῦ μεταφρένου, τούτου κατιδεῖν ἐς τὰς ῥῖνας καὶ τὴν φάρυγγα, ἢν ἕλκος τι ἔχων φαίνηται ἐν τῷ χωρίῳ τούτῳ, ἢ βδέλλαν.

Ὀφθαλμοὶ δὲ λημῶντες ἄριστα ἐπαλλάττουσιν, ἢν τό, τε,

δάκρυον, καὶ ἡ λήμη, καὶ τὸ οἴδημα, ἄρξηται ὁμοῦ γινόμενα· ἢν δὲ τὸ μὲν δάκρυον τῇ λήμῃ μεμιγμένον ᾖ, καὶ μὴ θερμὸν ἰσχυρῶς· ἡ δὲ λήμη λευκή τε ᾖ καὶ μαλθακὴ, τό, τε οἴδημα ἐλαφρόν τε καὶ λελυμένον· εἰ γὰρ οὕτω ταῦτ' ἔχοι, ξυμπλάσσοιτ' ἂν ὀφθαλμὸς ἐς τὰς νύκτας, ὥστε ἀνώδυνος εἶναι, καὶ ἀκινδυνώτατον οὕτως ἂν εἴη, καὶ ὀλιγοχρονιώτατον. εἰ δὲ τὸ δάκρυον χωρέει πουλὺ καὶ θερμὸν ξὺν ὀλιγίστῃ λήμῃ καὶ σμικρῷ οἰδήματι, εἰ μὲν ἐκ τοῦ ἑτέρου τῶν ὀφθαλμῶν, χρόνιον μὲν κάρτα γίνεται, ἀκίνδυνον δὲ, καὶ ἀνώδυνος οὗτος ὁ τρόπος· ἐν τοῖσι μάλιστα τὴν δὲ κρίσιν ἀποσκέπτεσθαι,

& sordes, & tumor, simul fieri inceperint. Si verò lachryma sordi fuerit permixta, & non valde calida: sordes autem alba fuerit & mollis, & tumor leuis solutus: si ita hæc se habuerint, oculus cōglutinabitur ad noctes, vt doloris exors sit, atque hoc modo res minimè periculosa fuerit, ac minimè diuturna. Si verò lachryma procedit multa & calida cum paucissima sorde ac paruo tumore, atque hoc ex altero oculo tantum, tunc diuturnum valde fit malum, verùm non periculosum, & doloris exors est hic modus. Et iudicationē in his maximè expectare oportet

primam quidē, ad vigesimam diem. Si verò hoc tempus transmittat, ad quadragesimā expectanda est. Si verò neque in his diebus sedetur, in sexaginta iudicatur. ℞ totum autem tempus hoc, sordem considerare oportet, an in digito misceatur, & alba ac mollis fiat, maximè sub iudicationis tēpus. Si enim desinet, hæc faciet. At si vtriq; oculi hæc perpetiantur, in maiori periculo sunt ne vlcerentur. Verùm iudicatio breuioris temporis erit. Sordes autem siccæ valde dolorosę sunt, sed cito iudicantur, si non vulnus acceperit oculus. Si ve-

τὴν μὲν πρώτην, ἐς τὰς εἴκοσιν ἡμέρας. ἢν δ' ὑπερβάλλῃ τοῦτον τὸν χρόνον, ἐς τὰς τεσσαράκοντα προσδέχεσθαι. ἢν δὲ μηδ' ἐν ταύτῃσι παύηται, ἐν τῇσιν ἑξήκοντα κρίνεται. παρὰ πάντα δὲ τὸν χρόνον τοῦτον, ἐνθυμεῖσθαι τὴν λήμην, ἢν ἐν τῷ δακτύλῳ τε μίσγηται, καὶ λευκή τε καὶ μαλθακὴ γίνηται, μάλιστα δ' ὑπὸ τοὺς χρόνους τοὺς κρισίμους. ἢν γὰρ μέλλῃ παύεσθαι, ταῦτα ποιήσει. εἰ δὲ οἱ ὀφθαλμοὶ ἀμφότεροι ταῦτα πάθοιεν, ἐπικινδυνότεροι γίνονται ἑλκωθῆναι. ἡ δὲ κρίσις ἐλάσσονος χρόνου ἔσται. λῆμαι δὲ ξηραὶ, ἐπώδυνοι κάρτα. κρίνονται δὲ ταχέως, ἢν μὴ βῶμα λάβῃ ὁ ὀφθαλ

μός. οἴδημα δὲ ἢν μέ-
γα ᾖ, ἀνώδυνόν τε καὶ
ξηρὸν, ἀκίνδυνον. εἰ δὲ
εἴη ξὺν ὀδύνῃ, κακὸν
μὲν ξηρὸν ἐὸν καὶ ἐπι-
κίνδυνον ἑλκῶσαί τε
τὸν ὀφθαλμὸν καὶ ξυμ-
φῦσαι. δεινὸν δὲ καὶ
ξὺν δακρύῳ τε ὂν καὶ
ὀδύνῃ. εἰ γὰρ δάκρυον
χωρέει θερμὸν καὶ ἁλ-
μυρὸν, κίνδυνος τῇ τε
κόρῃ ἑλκωθῆναι, καὶ
τοῖσι βλεφάροισιν. εἰ
δὲ τὸ μὲν οἴδημα κα-
ταστάιη, δάκρυον δὲ πο-
λὺ ἐπιχέεται πολλὸν
χρόνον, καὶ λῆμαι ἔωσι,
τοῖσι μὲν ἀνδράσι
βλεφάρων ἐκτροπὴν
προλέγειν· τῇσι δὲ γυ-
ναιξὶ καὶ τοῖσι παιδίοι-
σιν, ἕλκωσιν καὶ τῶν βλε-
φάρων ἐκστροφήν. ἢν δὲ
λῆμαι χλωραὶ ἢ πελι-
δναὶ ἔωσι, καὶ δάκρυον

rò tumor magn⁹ fue-
rit, dolorísque exors
& ſiccus, periculo va-
cat. Si verò cum dolo
re fuerit, malus eſt, ſi
ſiccus ſit, & periculũ
eſt ne vlceretur ocu-
lus ac concreſcat. Sed
& grauis eſt tumor,
ſi lachrymam cõiun
ctam habeat, itémq;
dolorem. Si enim la-
chryma procedit ca-
lida ac ſalſa, periculũ
eſt & pupillam exul-
cerari, & palpebras. ſi
verò tumor conſede-
rit, ſed lachryma mul
ta multo tempore ef-
fundatur, & ſordes
fuerint, viris quidem
palpebrarum euerſio
nem prædicere opor-
tet: mulieribus autẽ &
pueris exulceratiõẽ
ac euerſionem palpe-
brarũ. At ſi ſordes pallidę aut liuidę fuerĩt,

&lachryma multa ac calida, & in capite ardor fuerit, & de tempore dolores in oculum decubuerint, & vigilię his accesserĩt, necesse est vlcus in oculo factum esse, & timor est quoque vt talis rumpatur. Prodest autem febris accedẽs aut dolor ad lumbos innixus. Prædicere verò his futura oportet, ita vt respectꝰ & ad tempus habeatur, &ad ea quę ex oculo fluũt, & ad dolores itémque vigilias. Postquã verò & oculum contueri datum fuerit, si quidem compertus fuerit ruptus, & per fissuram prominuerit oculus, malum est & difficile vt sedetur. Si verò

πουλὺ καὶ θερμὸν, καὶ ἐν τῇ κεφαλῇ καῦμα ᾖ, καὶ διὰ τοῦ κροτάφου ὀδύναι ἐς τὸν ὀφθαλμὸν κατασκηρίξωσι, καὶ ἀγρυπνίη τουτέοισιν ἐπιγίνηται, ἕλκος ἀνάγκη γενέσθαι ἐν τῷ ὀφθαλμῷ. ἐλπὶς δὲ καὶ ῥαγῆναι τὸ τοιοῦτον. ὠφελέει δὲ καὶ πυρετὸς ἐπιγινόμενος ἢ ὀδύνη ἐς τὴν ὀσφὺν στηρίξασα. προλέγειν δὲ δεῖ τουτοισι τὰ ἐσόμενα, ἔς τε τὸν χρόνον σκεπτόμενον ἔς τε τὰ ἐκ τοῦ ὀφθαλμοῦ ῥέοντα, ἐς τὰς περιωδυνίας τε καὶ ἀγρυπνίας. ἐπὴν δὲ καὶ τὸν ὀφθαλμὸν οἷόν τε ᾖ κατιδεῖν, ἢν μὲν εὑρεθῇ ἐρρωγώς τε καὶ διὰ τῆς ῥωγμῆς ὑπερέχουσα ἡ ὄψις, πονηρὸν καὶ χαλεπὸν καθιδρύσαι.

εἰ δὲ καὶ σηπεδὼν ὑπείη τῷ τοιούτῳ, τελέως ἄχρηστος ὁ ὀφθαλμὸς γίνεται. τοὺς δ' ἄλλους τρόπους τῶν ἑλκέων ἐς τὰ χωρία σκεπτομένους προλέγειν, καὶ τάς τε σηπεδόνας καὶ βαθύτητας. ἀναγκαῖον κατὰ τὴν ἰσχὺν τῶν ἑλκέων τὰς οὐλὰς γίνεσθαι. οἷσι μὲν οὖν ῥήγνυνται οἱ ὀφθαλμοὶ, καὶ μετὰ, ὑπερίσχουσιν, ὥστε ἔξω τὴν ὄψιν τῆς χώρης εἶναι, ἀδύνατοι ὠφελέεσθαι καὶ χρόνῳ καὶ τέχνῃ εἰς τὸ βλέπειν. τὰ δὲ σμικρὰ μετακινήματα τῶν ὄψεων οἷά τε καθιδρύεσθαι, ἢν μήτε κακὸν ἐπιγένηται μηδὲν, ὅ, τε ἄνθρωπος νέος ᾖ. αἱ δὲ ἐκ τῶν ἑλκέων οὐλαὶ, οἷσιν ἂν μὴ κακόν τι ἄλλο προσῇ,

& putredo tali suberit, penitus inutilis oculus redditur. At verò alios vlcerum modos prædicere oportet, locos considerando, & putredines, & profunditates. Necessarium enim est iuxta vlcerum vehementiam cicatrices fieri. Quibus igitur rumpuntur oculi, & posteà prominent, vt extra locum oculus sit, his & tempore, & arte, opem ferre non datur, ad hoc vt videant. Paruæ verò oculorum transmotiones sedari possunt, si nihil mali accesserit, & homo iuuenis fuerit. At vlcerum cicatrices, quibus nihil aliud mali affuerit,

omnes, & à temporibus & ab arte, opem ferre posse putãdum est: maximè recentissimas, & in iuuenum corporib⁹. Cæterùm ex locis maximè oculi læduntur, si exulcerantur: deinde pars quæ est supra supercilia: posteà quicquid vicinissimum his locis fuerit. Pupillæ verò flauescentes, aut argẽti speciem referentes, aut cæruleæ, non bonæ sunt. His autẽ paulò meliores sunt, quæ aut minores apparẽt, aut ampliores, aut angulos habẽtes, siue ex causis tales factæ fuerint, siue suà spõte. Caligines, & nubeculæ, & cicatrices subalbicantes, leuigãtur ac delẽtur, nisi

πᾶσαι οἴεσθαι ὠφελέεσθαι, καὶ ἀπὸ τῶν χρόνων καὶ ἀπὸ τῆς τέχνης· μάλιστα δὲ αἱ νεώταταί τε, καὶ ἐν τοῖσι νεωτάτοισι τῶν σωμάτων. τῶν δὲ χωρίων, μάλιστα μὲν αἱ ὄψιες βλάπτονται ἑλκούμεναι· ἔπειτα τὸ ὑπεραίω τῶν ὀφρύων· ἔπειτα δὲ καὶ ὅ,τι ἂν ἄγχιστα ᾖ τούτων τῶν τόπων. αἱ δὲ κόραι γλαυκούμεναι ἢ ἀργυροειδέες γινόμεναι, ἢ κυάνεαι, οὐδὲν χρηστόν. τουτέων δ' ὀλίγον ἀμείνους, ὁκόσαι ἢ σμικρότεραι φαίνονται, ἢ εὐρύτεραι, ἢ γωνίας ἔχουσαι, εἴτ' ἐκ προφασίων τοι αὕτη γινοίατο, εἴτ' αὐτόμαται. ἀχλύες, καὶ νεφέλαι, καὶ αἰγίδες ἐκλεαίνονταί τε καὶ ἀφανίζονται, ἢν μὴ

τρῶμα

τρῶμά τι ἐπιγένηται ἐν τούτῳ τῷ χωρίῳ, ἢ πρόσθεν τύχῃ οὐλὴν ἔχων ἐν τῷ χωρίῳ τούτῳ, ἢ πτερύγιον. ἢν δὲ παράλυψις γένηται, ἀπολευκαίνει τοῦ μέλανος μόριόν τι, ὡς εἰ πουλὺν χρόνον παραμένῃ καὶ τρηχείη τε ᾖ, καὶ παχείη, καὶ μνημόσυνον ἀποκαταλιπεῖν. αἱ δὲ κρίσιες ὡς ἐν τοῖσι πυρετοῖσιν ἔγραψα, οὕτω καὶ ἐνθάδε ἔχουσιν. ἀλλὰ χρὴ τὰ σημεῖα ἐκμαθόντα προλέγειν, τὰς μὲν διαφορὰς τῶν ὀφθαλμῶν, ὅταν τὰ κάκιστα τῶν σημείων ἐπιγένηται, τὰς πολυχρονίους τῶν ὀφθαλμῶν, ὡς διαγέγραπται ἐφ' ἑκάστοισι· τὰς δὲ ὀλιγοχρονίους, ὅταν τὰ σημεῖα προφαίνηται τὰ ἄρι

vulnus aliquod in eo loco accesserit, aut priùs cicatricem habuerit in hoc loco, aut vnguẽ pterygion dictum. Si verò splendicans cicatrix in nigra oculorum parte fiat, partem aliquam nigredinis dealbat, adeò vt si multò tempore permaneat & aspera & crassa, etiam memoriam sui relinquat. Porrò iudicationes quemadmodũ in febribus scripsi, ita & hîc se habent. Verũ signa edoctum, iuxta differentias lippitudinum prædictionẽ facere oportet, quum pessima signa accesserint, diuturnarũ lippitudinum, velut de singulis perscriptum est: quum verò apparuerint optima signa, bre-

uium: tūc enim septima die desituras esse prædicendum est, aut propè hoc tēpus, & alioqui securas esse putādum est. Recidiuas autē expectare oportet his quibus melius habere contingit, neque in diebus iudicatorijs, neq; signis bonis cōspectis. Omniū verò maximè vrinæ statum in oculorū affectionibus considerare oportet. Nā temporum occasiones repentinæ sunt.

Dysenteriæ siquidē cumfebre inuaserint, autvarijs alui egestionibus, aut cū hepatis inflāmatione, aut prę cordij, aut vētris: aut quę dolorosę fuerint, aut cibos intercipiūt, sitímque inducunt:

στα, τό, τε προλέγειν ἑβδομαίας παύσασθαι, ἢ ἐγγὺς τουτέων, καὶ ἄλλως ἀσφαλῶς νομίζειν ἔχειν. τὰς δὲ ὑποστροφὰς προσδέχεσθαι, οἷσιν ἂν ῥαστῶναι γένωνται, μήτ' ἐν ἡμέρῃσι κρισίμοισι, μήτε σημείων ἀγαθῶν ἐπιφανέντων. πάντων δὲ χρὴ μάλιστα τὴν κατάστασιν τοῦ οὔρου, ἐν τοῖσι περὶ τοὺς ὀφθαλμοὺς ἐνθυμεῖσθαι· οἱ γὰρ καιροὶ ὀξέες.

Αἱ δὲ δυσεντερίαι, ξὺν πυρετῷ μὲν ἢν ἐπίωσιν, ἢ ποικίλῃσί τε διαχωρήμασιν, ἢ ξὺν φλεγμονῇ ἥπατος, ἢ ὑποχονδρίου, ἢ γαστρός· ἢ ὅσαι ἐπώδυνοι, ἢ ὅσαι τῶν σιτίων ἀπολαμβάνουσι, δίψαν τε παρέχουσιν,

αὗται μὲν πᾶσαι πονη-
ραί· ἢ, ὅς ἂν πλεῖστα
ἔχῃ τούτων τῶν κακῶν,
τάχιστα ἀπολεῖται. ᾧ
δ᾽ ἂν ἐλάχιστα τῶν τοι-
ούτων προσῇ, πλεῖσται
αὐτῷ ἐλπίδες. ἀποθνή-
σκουσι δὲ ὑπὸ ταύτης
τῆς νόσου μάλιστα παι-
δία τὰ πενταετέα, καὶ
γεραίτερα ἔς τε τὰ
δεκαετέα· αἱ δ᾽ ἄλλαι
ἡλικίαι ἧσσον. ὅσαι δὲ
τῶν δυσεντεριῶν λυσι-
τελέες, τὰ μὲν κακὰ
ταῦτα οὐκ ἐμποιέουσιν·
αἷμα δὲ καὶ ξύσματα
διαχωρήσαντα, ἐπαύ-
σαντο ἑβδομαῖα, ἢ τεσ-
σαρεσκαιδεκαταῖα, ἢ
εἰκοσταῖα, ἢ τεσσαρα-
κονθήμερα, ἢ ἐντὸς
τούτων τῶν χρόνων. τὰ
τοιαῦτα γὰρ διαχωρή-
ματα, καὶ ὑπάρχοντα
πρόσθεν ἐν τοῖσι σώμα-
σι νοσήματα ὑγιάζει·

hæ omnes malę sunt.
Et qui sanè plurima
horum malorum ha-
buerit, citissimè pe-
ribit. Cui verò paucis-
sima talium affue-
rint, huic plurimæ
spes sunt. Moriuntur
autem ex hoc morbo
maximè pueri quin-
quennes, & seniores
adhuc, ad decennes:
reliquæ verò æta-
tes minus. At quæ dy-
senteriæ commodæ
sunt, hæ mala hæc
non inducunt: verùm
sanguine & ramentis
egestis, desiuerunt
septima die, aut de-
cimaquarta, aut vige-
sima, aut quadragesi-
ma, aut intra hęc tē-
pora. Huiusmodi e-
nim egestiones, etiā
eos q prius sūt in cor-
porib9 morbos sanāt:

antiquiores quidem diutiore tempore: recentiores autẽ in paucis diebus submouere possunt. Nã & quæ vterum gestãt, etiam ipsæ euadunt superstites magis ad partum, & ex partu, & fœtus conseruant, sanguine & ramentis egestis, etiam per multos menses: nisi dolor ipsis affuerit, aut aliud quoddam malum signũ ex his quę in dysenterijs fieri scripsi, accesserit. Si verò aliquod illorum apparuerit, & fœtui perniciem significat, & prægnanti periculum, si non post fœtus effugiũ, & secundæ exolutionem, ipsa dysenteria eadẽ die, aut post modicũ tem

τὰ μὲν παλαιότερα, ἢν πλείονι χρόνῳ· τὰ δὲ νεώτερα δύναται καὶ ἐν ὀλίγῃσιν ἡμέρῃσιν ἀπαλλάσσειν· ἐπεὶ καὶ ἐν γαστρὶ ἔχουσαι καὶ αὗται περιγίνονται μᾶλλον ἐς τοὺς τόκους τε καὶ ἐκ τῶν τόκων, καὶ τὰ ἔμβρυα διασώζουσιν, αἵματός τε καὶ ξύσματος διαχωρεόντων, καὶ πολλοὺς μῆνας· ἢν μή τις ὀδύνη αὐτῇσι προσῇ, ἢ ἄλλο τι τῶν πονηρῶν ὧν ἔγραψα σημείων περὶ ἐν τῇσι δυσεντερίῃσι, ἐπιγένοιτο. εἰ δέ τι κείνων ἐπιφαίνοιτο, τῷ τε ἐμβρύῳ ὄλεθρον σημαίνει, καὶ τῇ ἐχούσῃ κίνδυνον, ἢν μὴ μετὰ τοῦ ἐμβρύου τὴν ἀπόφυξιν, καὶ τῶν ὑστέρων τὴν ἀπόλυσιν, ἡ δυσεντερίη παύσηται αὐθημερόν,

ἢ μετ' ὀλίγον χρόνον.

Αἱ δὲ λειεντερίαι, ξυνεχέες μὲν καὶ πολυχρόνιοι, καὶ πᾶσαν ὥρην, ξὺν ψόφοισί τε καὶ ἄνευ ψόφων ἐκταρασσόμεναι, καὶ ὁμοίως νυκτός τε καὶ ἡμέρης ἐπικείμεναι, καὶ τοῦ διαχωρήματος ὑπιόντος, ἢ ὠμοῦ ἰσχυρῶς, ἢ μέλανός τε καὶ λείου καὶ δυσώδεος, αὗται μὲν πᾶσαι πονηραί· καὶ γὰρ δίψαν παρέχουσι, καὶ τὸ ποτὸν οὐκ ἐς τὴν κύστιν προπέμπουσιν, ὥστε διουρέεσθαι· καὶ τὸ στόμα ἐξελκοῦσι, καὶ ἔρευθος ἐξηρμένον ἐπὶ τῶν προσώπων ποιέουσι, καὶ ἐφηλίδας παντοῖα χρώματα ἐχούσας. ἅμα δὲ καὶ τὰς γαστέρας, ἀποξύμους τε καὶ ῥυπαρὰς ἀποδεικνύ-

pus deſinat.

Lęuitates porrò inteſtinorum, lienteriæ Græcis appellatæ, hæ quidẽ ſunt continuæ & diuturnę, & per omnem horam, & cũ ſtrepitibus & ſine ſtrepitibus exturbantur, & ſimiliter noctu ac interdiu incumbentes, & egeſtione ſubeunte, aut valde cruda, aut nigra & læui ac graueolente: hæ omnes malæ ſunt. nam & ſitim inducunt, & potum non ad veſicã promouent, vt per vrinam eijciatur: & os exulcerant, & ruborẽ eleuatum in facie efficiunt, & maculas ſolares varios colores habentes. Simul autẽ & ventres emollitos, & ſordidos ac rugo-

ſos reddunt. Ex tali-
bus autem homines
impotentes fiũt ad ci
bum capiẽdum, & ad
deambulandum, & ad
faciendum alia quæ
facere debent. Eſt-
que morbus hic gra-
uiſsimus ſenioribus:
vehemens eſt etiam
viris: reliquis au-
tem ætatibus, multo
minor. Quiſquis au-
tem neque in ætati-
bus his eſt, quas malè
tractari ab hoc mor-
bo dixi, & pauciſsima
ex ſignis habet quæ
mala eſſe ſcripſi, hic
ſecuriſsimè diſpoſi-
tus eſt. Indiget au-
tẽ curatione hic mor
bus, donec & vrina ꝑ
ratione eius quod in
potu acceptum eſt,
ꝓcedat, & corpus ab
ingeſtis cibis augmẽ

ουσι, καὶ ἐυπιδώδεας.
ἐκ δὲ τῶν τοιούτων, ἐσθί-
ειν τε ἀδύνατοι γίνονται
οἱ ἄνθρωποι, καὶ τῇσι
περιόδοισι χρῆσθαι, καὶ
τἄλλα τὰ πρασσόμε-
να ποιέειν. τὸ δὲ νόση-
μα τοῦτο, δεινότατον μὲν
τοῖσι πρεσβυτέροισιν,
ἰσχυρὸν δὲ γίνεται καὶ τοῖ-
σιν ἀνδράσι· τῇσι δὲ
ἄλλῃσιν ἡλικίῃσι, πολ-
λῷ ἧσσον. ὅστις δὲ μήτε
ἐν τῇσιν ἡλικίῃσιν ἐστὶ
ταύτῃσιν ᾗσι φημὶ ὑ-
πὸ τοῦ νοσήματος τούτου
κακῶς περιέπεσθαι, ἥκι-
στά τε τῶν σημείων ἔ-
χει τῶν πονηρῶν ἃ ἔγρα-
ψα εἶναι, ἀσφαλέστατα
διάκειται οὗτος. θεραπεί-
ης δὲ προσδεῖται ἡ νοῦ-
σος αὕτη, ἔστ' ἂν τό, τε
οὖρον χωρέηται τοῦ πι-
νομένου κατὰ λόγον,
καὶ τὸ σῶμα τῶν σι-
τίων εἰσιόντων αὔξη-

ται, καὶ τῶν χροιῶν τῶν πονηρῶν ἀπαλλαχθῇ.

Αἱ δὲ ἄλλαι διάῤῥοιαι ὅσαι ἄνευ πυρετῶν, καὶ ὀλιγοχρόνιοί εἰσι καὶ εὐηθέες· ἢ γὰρ κατανιφθεῖσαι πεπαύσονται, ἢ ἀπὸ τοῦ αὐτομάτου. προσαγορεύειν δὲ χρὴ παύεσθαι τὴν ὑπέξοδον, ὅταν τῇ τε χειρὶ ψαύοντι τῆς γαστρὸς, μηδεμία κίνησις ὑπῇ, καὶ φῦσα διέλθῃ ἐπὶ τελευτῇ τοῦ διαχωρήματος.

Ἕδραι δὲ ἐκτρέπονται, ἀνδράσι μὲν, οὓς ἂν διάῤῥοια λάβῃ ἔχοντας αἱμοῤῥοΐδας· παιδίοισι δὲ λιθιῶσί τε καὶ ἐν τῇσι δυσεντερίῃσι τῇσι μακρῇσί τε καὶ ἀκρήτοισι· πρεσβυτέροισι δὲ, οἷς ἂν προσπήγματα μύξης ἐνῇ.

tum capiat, & à malis coloribus liberatum fuerit.

At verò alia profluuia alui quæ ſine febre ſunt, & breui tempore durant & mitia exiſtũt. Aut enim eluta ſedabũtur, aut ſua ſpõte. Prædicere autẽ oportet exſcreationẽ ſubtus erũpentem deſituram eſſe, quũ tangenti ventrem manu nullus motus occurrerit, & in fine egeſtionis flatus penetrarit.

Sedes autẽ euertuntur ac procidũt, viris quidem, quos vbi hæmorrhoidas habent, alui profluuium corripit: pueris autẽ calculo laborantibus, & in dyſenterijs longis ac meracis: ſenibus verò quibus muci agglutinati inſunt.

Porrò ex mulieribus, quę magis aut minus in vtero concipere solent, ita considerationem facere conuenit: primùm quidē specierū: paruæ enim ad cōceptionem præstantiores sunt maioribus, tenues crassis, albæ rubicundis, nigræ liuidis. Quæ itē venas conspicuas habent, meliores sunt q̄ quibus nō apparent, carnem autem vberiorem habere anicu læ malū est. mammas autem tumidas ac magnas, bonū. Atq; hæc quidem ad visum exposita sunt. Verùm interogare oportet etiā de mēstruis purgationibus, an omnib9 mensibus cōpareant, & an copia satis magna, & an boni coloris sint &

Τῶν δὲ γυναικῶν ὅσαι μᾶλλον ἢ ἧσσον ἐν γαστὶ λαμβάνειν πεφύκασιν, ὧδε ἀποσκέπτεσθαι· πρῶτον μὲν τὰ εἴδεα· σμικραί τε γὰρ μειζόνων ἀμείνονες ξυλλαμβάνειν, λεπταὶ παχειῶν, λευκαὶ ἐρυθρῶν, μέλαιναι πελιδνῶν. φλέβας ὅσαι ἐμφανέας ἔχουσιν, ἀμείνονες ἢ ὅσῃσι μὴ καταφαίνονται. σάρκα δὲ ἐπίθρεπτον ἔχειν πρεσβυτικῇ πονηρόν. μάζους δὲ ὀγκηρούς τε καὶ μεγάλους, ἀγαθόν. ταῦτα μὲν πρὸς τὴν ὄψιν δῆλά ἐστι. πυνθάνεσθαι χρὴ καὶ περὶ τῶν καταμηνίων, ἢν πάντας μῆνας φαίνωνται, καὶ ἢν πλῆθος ἱκανὸν, καὶ ἢν

εὖ χροά τε καὶ ἴσα ἐν ἑκάστοισι τῶν χρόνων, καὶ ἐν τῇσιν αὐτῇσιν ἡμέρῃσι τῶν μηνῶν· οὕτω γὰρ ταῦτα γίνεσθαι ἄριστον.

Τὸ δὲ χωρίον ἐν ᾧ ἡ σύλληψίς ἐστιν, ὃ δὴ μήτρην ὀνομάζομεν, ὑγιές τε χρὴ εἶναι, καὶ ξηρὸν, καὶ μαλθακὸν, καὶ μήτ' ἀνεσπασμένον ἔξω, μήτε προπετὲς, μήτε τὸ στόμα αὐτοῦ ἀπεστράφθω, μήτε ξυμμεμυκέτω, μήτ' ἐκπεπλήχθω· ἀμήχανον γὰρ ὅ,τι ἂν ᾖ τῶν τοιούτων κωλυμάτων σύλληψιν γίνεσθαι.

Ὁκόσαι μὲν οὖν τῶν γυναικῶν μὴ δύνανται ἐν γαστρὶ λαμβάνειν, φαίνονται δὲ χλωραὶ, μήτε πυρετοῦ, μήτε τῶν σπλάγχνων αἰτίων ἐόντων, αὗται φήσουσι κεφαλὴν ἀλγέειν, καὶ τὰ

æquales in ſingulis temporibus, & in ijſdem mēſium diebus. Sic enim has fieri optimum eſt.

Locū verò in quo conceptio fit, quem ſanè vterū nominamꝰ, ſanum eſſe oportet, & ſiccum, ac mollem. Sit item neque retractus, neque pronus, neq; os ipſius ſit auerſum, neq; concluſum, neq; euerſum. fieri enim nō poteſt vt cōceptio fiat, quodcunque tandem talium impeꝛmentorum affuerit.

Quęcunque igitur mulieres in vtero cōcipere nō poſſunt, verùm pallidæ apparēt, neque febre, neque viſceribus in cauſa exiſtentibus, hæ capite ſe dolere dicēt, &

menſes ſibi malè ac meracos prodire. Siue autem breui, ſiue longo tempore, ipſis ſic affectis menſes nõ cõparuerũt, aut vteri in his purgatione opus habent. Quæcunque verò bene colorata ſunt, & carnem multam ac pinguem habent, & venulas occultatas, & dolore carent, & mẽſes his aut omnino non apparent, aut modici & meraci prodeunt. Hic modus difficillimus eſt adcogendum vt concipiant. Si verò menſibus comparentibus inculpatè, & mulier ſic corpore diſpoſita fuerit, & non conceperit, locus in quo eſt vter⁹ in cauſa eſt,

καταμήνια πονηρῶς τε σφίσι καὶ ἀκρίτως γίνεσθαι. καὶ ὀλίγως δὲ καὶ πουλὺν χρόνον ἐν τῇσιν οὕτω διακειμένῃσιν ἀφανέα, ἢ αἱ μῆτραι καθάρσιος ταύτῃσι προσχρῄζουσιν. ὁκόσαι τε εὔχροοί τέ εἰσι, καὶ σάρκα πολλήν τε καὶ πίειραν ἔχουσι, καὶ φλέβια κεκρυμμένα, ἀνώδυνοί τέ εἰσι, καὶ τὰ καταμήνια ταύτῃσιν ἢ παντάπασιν οὐ φαίνεται, ἢ ὀλίγα τε καὶ ἀκρίτως γίνεται. τῶν τρόπων οὗτος ἐν τοῖσι χαλεπώτατός τοῖσίν ἐστι καταναγκάσαι ὡς ἐν γαστρὶ λαμβάνειν. ἢν δὲ ἐπιφαινομένων τῶν καταμηνίων ἀπροφασίστως, τό τε σῶμα ὧδε διάκειται ἡ γυνή, καὶ μὴ συλλαμβάνῃ, τὸ χωρίον ἐν ᾧ ἡ μήτρη, αἴτιον,

ὥστε μὴ δύνασθαι γίνεσθαι ἔκγονα· ἢ γὰρ ἀνεσπασμένον ἐστὶν, ἢ ἐκπεπληγμένον· τὰ γὰρ ἄλλα καταγινόμενα ἐνταῦθα, ξὺν ὀδύνῃσί τε γίνεται, καὶ ἀχροίῃσί τε καὶ τήξει.

Ησι δ' ἂν ἕλκος γένηται ἐν τῇσι μήτρῃσιν, εἴτε ἐκ τόκου, εἴτε ἐκ φύματος, εἴτε ἐξ ἄλλης τινὸς προφάσιος, πυρετούς τε καὶ βουβῶνας ταύτῃσιν ἀνάγκη ἐπιγίνεσθαι, καὶ ὀδύνας ἐν τοῖσι χωρίοισι τούτοισιν. εἰ δὲ καὶ τὰ λοχεῖα συναπολειφθείη, ταῦτα ὑπάρχοντα κακὰ, πάντη ἀκριτότερά τε καὶ χρονιώτερα. καὶ πρὸς τούτοισιν ὑποχονδρίων τε καὶ κεφαλῆς ὀδύναι.

Ελκεος δὲ γινο-

vt fœcunda fœtu fieri non posſit: aut enim reuulſus eſt, aut euerſus: nam & alia quæ iſthic fiunt, cum doloribus decolorationéque ac colliquatione fiunt.

Quibus porrò vlcus factum fuerit in vtero, ſiue ex partu, ſiue ex tuberculo, ſiue ex alia quadã cauſa, his febres & inguinum tumores ſuccedere neceſſe eſt, & dolores in his locis. Si verò etiam puerperij purgamenta ſimul fuerint intercepta, hæc mala ſi fuerint, omnino & meraciora ſunt & diuturniora. Et ad hæc præcordiorum ac capitis dolores.

Vlcere autem fa-

cto & ſanato, locum
hunc lęuiorem ac du
riorẽ fieri neceſſe eſt,
&minus cõcipere poſ
ſe. Si verò ſolũ in ſini
ſtra parte fiat vlcus,
& mulier in vtero cõ
cipiat, ſiue dũ adhuc
habet vlcus, ſiue vbi
iam ſana eſt maſculũ
magis enixuram eſſe
ſpes eſt. ſi verò in dex
tra parte vlcus fiat, &
mulier concipiat, fœ-
mineũ magis fore fœ
tum expectandũ eſt.
At ſi febres corripiãt
concipere non poten
tem, & attenuata ſit
muliercula, interro-
gare oportet, an vteri
vlcus aliquod habeãt,
aut aliud quippam ex
malis de quibus ſcri-
pſi. Si enim in hoc lo-
co nihil mali ſubeſſe
apparuerit, quod cau

μένου, καὶ ἐξυγιασθέν
τος, τὸ χωρίον τοῦτο
ἀνάγκη λειότερον καὶ
σκληρότερον γίνεσθαι,
καὶ ἧσσον δύνασθαι ἐν
γαστρὶ λαμβάνειν. εἰ δὲ
μοῦνον ἐν τοῖσιν ἐπ' ἀρι
στερὰ γένοιτο τὸ ἕλκος, ἡ δὲ
γυνὴ ἐν γαστρὶ λάβοι,
εἴτε τὸ ἕλκος ἔτι ἐχοῦ-
σα, εἴτε λοιπὸν ἤδη
ὑγιὴς ἐοῦσα, ἄρσεν μᾶλ
λον τεκεῖν αὐτὴν ἐλπίς
ἐστιν. εἰ δὲ ἐν τοῖσιν ἐπὶ
δεξιὰ τὸ ἕλκος γένοιτο,
ἡ δὲ γυνὴ ἐν γαστρὶ ἔχοι,
θῆλυ μᾶλλον τὸ ἔκγο
νον χρὴ δοκέειν ἔσεσθαι.
ἢν δὲ πυρετοὶ γένωνται
οὐ δυναμένῃ ἐν γαστρὶ
λαβεῖν, καὶ λεπτῆς βη-
χὸς ἐχούσης, πυνθάνε-
σθαι χρὴ, μήτι αἱ μῆτραι
ἕλκος ἔχουσιν, ἢ ἄλλό
τι τῶν πονηρῶν ὧν ἔγρα-
ψα. εἰ δὲ ἐν τῷ χωρίῳ
τούτῳ μηδὲν ὑπεὸν κα-

κἂν φαίνοιτο αἴτιον τῆς λεπτύνσιός τε καὶ τοῦ μὴ συλλαμβάνειν δύνασθαι, αἷμα ἐμέσαι τὴν γυναῖκα πρόσδόκιμον. τὰ δὲ καταμήνια τῇ τοιαύτῃ ἠφανίσθαι ἀνάγκη. ἢν δὲ ὁ πυρετὸς λυθῇ ἀπὸ τῆς ῥήξιος τοῦ αἵματος, καὶ τὰ καταμήνια φανῇ, ἐν γαστρὶ λήψεται. ἢν δὲ τὰ τῆς γαστρὸς πρὶν ἢ τὸ αἷμα ἀναῤῥαγῆναι, ὑγρὰ γένηται πονηρὸν τρόπον, κίνδυνος ἀπολέσθαι τὴν γυναῖκα ἔμπροσθεν, ἢ τὸ αἷμα ἐμέσαι.

Ὁκόσαι δὲ ἐν γαστρὶ δοκέουσιν ἔχειν, οὐκ ἔχουσαι, καὶ πολλοὺς μῆνας ἐξαπατῶνται, τῶν καταμηνίων οὐ φαινομένων, καὶ τὰς γαστέρας ὁρῶσιν αὐξανομένας τε καὶ κινεομένας,

ſa ſit attenuationis, & quòd concipere nō poſsit, ſanguinem vomiturā eſſe mulierē expectādū eſt. menſes autem tali neceſſariò euanuerunt. Si verò febris ſoluta fuerit à ſanguinis eruptione, & menſes cōparuerint, in vtero cōcipiet. Si verò priuſquam ſanguis erumpat, alui excrementa liquida facta fuerint prauo modo, periculum eſt peniturā eſſe mulierē antea quàm ſanguinem vomat.

Quæcunque in vtero ſe concepiſſe putant, & non conceperunt, & ꝑ multos menſes fallūtur, mēſtruis purgationibus nō apparētibus, & vētres augeri ac moueri vidēt,

hæ & caput dolent, & collũ, & precordia, & in mammis lac ipsis nõ est, nisi modicum quiddam atque id aquosum. Postquamvero ventris tumiditas exoluta fuerit, ac molles factæ fuerint, in vtero concipient, si non aliud quoddam impedimentum ipsis fiat. Nam hæc affectio bona est ad mutationem in vtero faciendam, vt post hoc tempus in vtero concipiant. At his quæ conceperunt, dolores hi non fiunt, nisi familiares his fuerint, capitis dolores, & lac in mammis gignitur.

αὗται κεφαλήν τε ἀλγέουσι, καὶ τράχηλον, καὶ ὑποχόνδρια, καὶ ἐν τοῖσι τιτθοῖσι γάλα οὐκ ἐγγίνεται σφῖσιν, εἰ μὴ ὀλίγον τι καὶ ὑδαρές. ἐπὴν δὲ τὸ κύρτωμα τὸ τῆς γαστρὸς ἀπολυθῇ, καὶ λαπαραὶ γένωνται, αὗται ἐν γαστρὶ λήψονται, ἤν μή τι ἄλλο κώλυμα γένηται σφῖσιν· ἔστι τὸ πάθος γε τοῦτο ἀγαθὸν ὅτι μεταβολὴν ποιῆσαι ἐν τῇ ὑστέρῃ, ὥστε μετὰ τοῦτον τὸν χρόνον ἐν γαστρὶ λαμβάνειν. τῇσι δ' ἐχούσῃσιν ἐν γαστρὶ τὰ ἀλγήματα ταῦτα οὐ γίνεται, ἢν μὴ ξυνήθεα ἔωσι ταύτῃσιν αἱ κεφαλαλγίαι, καὶ γάλα ἐν τοῖσι τιτθοῖσιν ἐγγίνεται.

At verò eas quæ à diuturnis fluxionib⁹

Τὰς δὲ ὑπὸ τῶν ῥόων τῶν πολυχρονίων

ἐχομένας, ἐρωτᾶν εἰ κεφαλὴν ἀλγέουσι, καὶ ὀσφῦν, καὶ τὸ κάτω τῆς γαστρός. ἔρεσθαι δὲ καὶ περὶ αἱμωδίας, καὶ ἀμβλυωσμοῦ, καὶ ἤχων. ὁκόσαι δὲ νήστιες ἐοῦσαι, ἀπόχολα ἐμέουσι πολλὰς ἡμέρας, μήτε ἐν γαστρὶ ἔχουσαι, μήτε πυρεταίνουσαι, πυνθάνεσθαι ἕλμινθας στρογγύλας εἰ ξυνεμέουσιν· ἢν δὲ μὴ ὁμολογέωσι, προλέγειν αὐτῇσι τοῦτο ἔσεσθαι. γίνεται δὲ μάλιστα μὲν τῇσι γυναιξὶ τὸ νόσημα τοῦτο· ἔπειτα δὲ καὶ παρθένοις, τοῖσι δ' ἄλλοισιν ἀνθρώποισιν ἧσσον.

Ὅσαις δὲ ἄνευ πυρετῶν ὀδύναι γίνονται, θανάτους μὲν οὐκ

vexãtur, interrogare oportet an caput doleant, & lũbos, & infernàm ventris partem. Interrogãdę ſunt etiã de dentiũ ſtupore, & viſus hebetudine, & aurium ſonitu. Quęcunq; autem dum ieianæ ſunt, ſubbilioſa vomũt ꝑ multos dies, quum neq; vterum geſtent, neq; febricitẽt, eas interrogare oportet an lumbricos rotundos ſimul vomãt. Si enim hoc non confitentur, prædicendũ eſt ipſis futurum eſſe. Fit autem hic morbus maximè quidem mulieribus: deinde verò etiam virginibus, alijs autem hominibus minus.

Quibuſcũq; verò ſine febribus dolores fiũt, mortem quidẽ non

inducunt. verùm plerique diuturni sunt, & multas mutatiões ac recidiuas habēt. Modi autem hi sunt: primùm quidem ex capitis doloribus, aliqui sunt leues, aliqui multo grauiores. Vtrosq; verò hoc modo considerare oportet.

Quicunq; hebetem visum habēt, & rubor quidã ipsis fit in oculis, & pruritus frontẽ vexat, his sanguis sua sponte manãs opitulatur. Atq; hic modꝰ necessariò simplex est.

Quibus verò dolores circa caput & frõtem, ex magnis vẽtis fiunt, & ex frigoribꝰ cùm vehementer calfacti fuerint eos gra-

ἐξεργάζονται. πολυχρόνιοι δὲ αἱ πλείους εἰσὶ, καὶ πολλὰς μεταστάσιας ἔχουσι καὶ ἀποστροφάς. οἱ δὲ τρόποι, πρῶτον μὲν, τῶν περὶ τὴν κεφαλὴν ἀλγημάτων, τὰ μὲν εὐήθεα, τὰ δὲ χαλεπώτερα πολλῷ. χρὴ δὲ ἀποσκέπτεσθαι ἑκάτερα αὐτῶν, ὧδε.

Ὁκόσοι δὲ αὐτῶν ἀμβλυώσσουσι, καὶ ἐρύθος τι ἔχουσιν, τῶν ὀφθαλμῶν αὐτοῖσι γίνεται, καὶ κνησμὸς ἔχει τὸ μέτωπον, τούτοισιν ἀρήγει αἷμα ῥυὲν ἀπὸ τοῦ αὐτομάτου. καὶ ἐξ ἀνάγκης ἁπλοῦς οὗτος ὁ τρόπος.

Οἷσι δὲ ὀδύναι περὶ τὴν κεφαλὴν καὶ τὸ μέτωπον, ἐκ τε τῶν ἀνέμων τῶν μεγάλων γίνονται, καὶ ἐκ τῶν ψυχέων ὅταν θαλφθῶσιν ἰσχυρῶς, τούτους δὲ κούρ-

ξαι

ζαι μὲν τελέως μάλιστα ἀπαλλάσσουσιν. ὠφελέουσί τε καὶ πταρμοὶ, καὶ βλένναι ἐν τῇσι ῥισὶ γινόμεναι, μᾶλλον μὲν ἀπὸ τοῦ αὐτομάτου· εἰ δὲ μὴ, ἐξ ἀνάγκης. κόρυζαι γίνονται τελέως, ὥστε καὶ βῆχας ἐπιγενέσθαι· οἵ τε πταρμοὶ ἐπιγενόμενοι, τὰς ὀδύνας ἢν μὴ παύωσι, φύματα ἀνάγκη ἐπιγενέσθαι καὶ ἀχροίας τούτοισιν.

Ὁκόσοισι δὲ ὀδύναι ἄνευ προφασίων τῶν φανερῶν γίνονται, καὶ πολυχρόνιοι, καὶ ἐν πάσῃ τῇ κεφαλῇ, ἰσχνοῖσί τε ἐοῦσι καὶ ἀμενηνοῖσι, προσδέχεσθαι τούτοισι τὸ νόσημα πολλῷ χαλεπώτερον τοῦ πρόσθεν. ἢν δὲ καὶ ἐς τὸν τράχηλόν τε καὶ ἐς τὸν νῶτον ἡ ὀδύνη καταβαίνῃ τὴν κεφαλὴν ἀπολιποῦσα, καὶ αὖθις

uedines quidẽ maximè perfectè liberant. prosunt autem & sternutationes, & quæ muci in naribus fiũt, magis quidem sua spõte: sin minus, coactè. Grauedines autẽ fiũt perfectè, adeò vt & tusses succedãt: & sternutationes succedentes, si dolores non sedauerint, necesse est tubercula & decolorationes his succedere.

Quibus autẽ dolores sine manifestis causis fiũt, & diuturni, & in toto capite, súntque ipsi & graciles & debiles, his prædicendũ est morbũ longè grauiorem priore esse. Si verò etiam ad collum, & ad dorsum dolor descendat, caput relinquens, & rur-

ſus ad caput recurrat, adhuc grauior fit. Verùm omniũ horũ grauiſsimus eſt, ſi ex capite ad collũ ac dorſum tendat. Vtilitates autem his ex abſceſsibus fore expectãdum eſt: aut vbi pus ꝑ tuſsim reiecerũt, aut hæmorrhoidas habẽt, aut puſtulas in corporibus enatas. Cõfert etiã caput furfures habens.

Torpores & pũcturæ purginoſæ velut ab vrtica, quibus per caput diſcurrunt, aliquãdo ꝑ totũ, aliquãdo per aliquã partem: ſæpe verò & frigiditas aliqua ab ipſis ſentiri putatur, velut ꝑ caput diſcurrere, hos interrogare oportet, an etiã ad sũmã linguã punctura illa ꝓcedat.

πάλιν παλινδρομέα εἰς τὴν κεφαλὴν, καὶ ἔτι χαλεπώτερον γίνεται. τούτων δὲ πάντων δεινότατον, εἰ ξυντείνοι ἐκ τῆς κεφαλῆς ἐς τὸν βάχηλόν τε καὶ τὸν νῶτον. τὰς δὲ ὠφελείας τουτέοισι προσδέχεσθαι ἐξ ἀποστασίων ἔσεσθαι· ἢ πῦον ῥήξασιν, ἢ αἱμοῤῥοΐδας ἔχουσιν, ἢ ἐξανθήματα ἐν τοῖς σώμασι. λυσιτελέει δὲ καὶ πιτυρωθεῖσα ἡ κεφαλή.

Νάρκαι δὲ καὶ κνιδώσιες οἷσι διὰ τῆς κεφαλῆς διαΐσσουσι, τότε μὲν διὰ πάσης, τότε δὲ διὰ μέρους τινός· πολλάκις δὲ καὶ ψυχρόντι δοκέει αὐτοῖσιν, εἰ διαχωρέει διὰ τῆς κεφαλῆς, τούτους ἐπανέρεσθαι, εἰ καὶ ἐς τὴν γλῶσσαν ἄκρην ἀφικνέεται ἡ κνίδωσις· εἰ

ἢν δὲ τοῦτο ποιέοι, τέλεον τὸ νόσημα γίνεται, καὶ χαλεπώτερον ἀπαλλάξαι. εὐπετὴς δὲ ἄνευ τούτου. οἱ δὲ τρόποι τῶν ὠφελειῶν ἐξ ἀποστασίων οἷς περὶ προγέγραπται. ἧσσον μέντοι ἐπιγίνονται ἀποστάσιες τῶν τούτοισιν ἢ ἐκείνοισιν.

Ὁκόσους δὲ ξὺν τῇσιν ὀδύνῃσιν σκοτόδινοι λαμβάνουσι, δυσαπάλλακτον καὶ μανικόν. γέρουσι δὲ ὁ τρόπος οὗτος μάλιστα γίνεται. αἱ δὲ ἄλλαι νόσοι αἱ ἀμφὶ κεφαλὰς, ἀνδράσι τε καὶ γυναιξὶν, ἀσφαλῶς ἰσχυρόταται, καὶ πολὺ χρονιώτεραι. γίνονται δὲ καὶ νεανίσκοισί τε καὶ παρθένοισι τῇσιν ἐν ἡλικίῃ, καὶ μάλιστα τῶν καταμηνίων ἐς τὴν πρόοδον.

Si enim hoc fecerit, perfectus morbus fit, & qui difficilius submoueri posſit. Verũ absq; hoc facilis est. Modi verò vtilitatũ cõsequendarũ ex abscesſibus contingent, veluti antea scriptum est. Sed tamẽ abscesſus minus in his succedunt, quàm in illis.

Quoſcunque verò vnà cũ doloribus vertigines corripiũt, malum ægrè exolubile ac furioſum existit. ſenibus autẽ maximè hic modus fit. At alij morbi circa caput, & viris, & mulieribus, cum ſecuritate vehemẽtisſimi ſunt, & diuturniores: fiunt autẽ & adoleſcentibus, & virginibꝰ in ea pubertatis ætate, & maximè circa mẽsiũ ꝓgresſũ.

Mulieribus verò in capitis doloribus, alia quidẽ omnia fiũt, quę & viris. Verùm pũctura illæ pruriginosę & affectiones atrabilariæ, his minus quàm viris, si nõ menses penitus aboliti fuerint.

Quibus colores dũ iuuenes sunt, praui sunt ad multũ tẽpus, & cõtinẽter, nõ tamẽ morbi regij modo: hi siue viri sint, siue fœminę, caput dolẽt, & lapides ac terrã comedunt, & hęmorrhoidas habẽt.

Pallidi verò cũ viro re colores qui diuturni sunt, & morbus regius vehemẽs nõ est, alia quidẽ eadẽ facere solent, verùm pro lapidum ac terræ esu,

τῇσι δὲ γυναιξὶν ἐν τῇσι κεφαλαλγίῃσι, τὰ μὲν ἄλλα πάντα γίνεται, ἃ καὶ τοῖσιν ἀνδράσιν. αἱ κνιδώσιες δὲ καὶ τὰ μελαγχολικὰ, ταύτῃσιν ἧσσον, ἢ τοῖσιν ἀνδράσιν, ἢν μὴ τὰ καταμήνια τελέως ἠφανισμένα ᾖ.

Οἷσι δὲ τὰ χρώματα νέοις ἐοῦσι πονηρά ἐστι πολλὸν χρόνον, ξυνεχέως δὲ, μὴ ἰκτεριώδεα τρόπον, οὗτοι καὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, κεφαλὴν ἀλγέουσι, καὶ λίθους τε καὶ γῆν τρώγουσι, καὶ αἱμοῤῥοΐδας ἔχουσι.

Τὰ δὲ χλωρὰ χρώματα ὅσα χρόνιά εἰσι, καὶ μὴ ἰσχυροὶ ἴκτεροι εἰσι, τὰ μὲν ἄλλα τὰ αὐτὰ ποιέειν αὐτοῖσι ξυμβαίνει. αὐτὶ δὲ τῶν λίθων τούτους καὶ τῆς γῆς τρώξιος τὰ ὑποχόνδρια λυπέει μᾶλλον

ἢ τοὺς ἑτέρους.

Ὁκόσοι δὲ πουλὺν χρόνον ὠχροὶ φαίνονται, καὶ τὰ πρόσωπα ἐπηρμένα ἔχοντες, εἰδέναι χρὴ τούτους τὴν κεφαλὴν ὀδυνωμένους ἢ περὶ τὰ σπλάγχνα ἀλγήματα ἔχοντας, ἢ ἐν τῇ ἕδρῃ κακόν τι ἐν ἑωυτοῖσι. Τοῖσι δὲ πλείστοισι τῶν τοιούτων φαινομένων, οὐχ ἕν τι τούτων τῶν κακῶν φαίνεται, ἀλλ' ἔστιν ὅτε πολλὰ, ἢ καὶ πάντα.

Οἱ δὲ τῆς νυκτὸς ὁρῶντες, οὓς δὴ νυκτάλωπας καλέομεν, οὗτοι ἁλίσκονται ὑπὸ τοῦ νοσήματος νέοι, ἢ παῖδες ἢ καὶ νεανίσκοι· καὶ ἀπαλλάσσονται ὑπὸ τοῦ αὐτομάτου, οἱ μὲν τεσσαρακονθήμεροι, οἱ δὲ ἑπτάμηνοι· τισὶ δὲ καὶ ἐνιαυτὸν ὅλον παρέ-

præcordia hos magis affligunt q̃ alteros.

Quicũq; verò multo tẽpore pallidi apparẽt,& facies in tumorẽ eleuatas habẽt, eos caput dolere ſciẽdum eſt,aut circa viſcera dolorẽ habere, aut in ſede malũ aliquod in ſeipſis.Ex his autẽ apparẽtibus pleriſq;,nonvnũ aliquod horum malorum apparet,ſed plerũq; multa, aut etiam omnia.

Qui nocte vident, quos ſanè nyctalopas vocamus, hi morbo corripiũtur iuuenes, aut pueri, aut etiam adoleſcentes:& liberãtur ſua ſpõte,aliqui in quadragĩta diebꝰ, aliqui ſeptimo menſe:quibuſdã verò & ꝑ totũ annum perman.

sit. Quapropter de tépore coniectare oportet, ita vt & ad morbi robur, & ad ægri ætatem respicias. Abscessus autem his prosunt insuper apparentes, & ad infernas partes fluentes. Verùm nõ valde accedũt, propter iuuentuté. At mulieres non corripiuntur ab hoc morbo, neq; virgines quibus menses cõparent. Quibus autem lachrymarũ fluxiones diuturnæ fuerint, & hi nyctalopes fiunt, eos interrogare oportet, an caput doluerint anteà, quàm hæc reuelarunt.

Quicunq; dum neque febricitãt, neque decolores sunt, sæpe & verticem & tempo

μαίνει. σημαίνεσθαι χρὴ περὶ τοῦ χρόνου, ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, ἔς τε τὴν ἡλικίην τοῦ νοσέοντος. αἱ δὲ ἀποστάσιες, ὠφελέουσι μὲν τούτους ἐπιφαινόμεναί τε καὶ ἐς τὰ κάτω ῥεόμεναι. ἐπιγίνονται δὲ οὐ κάρτα, διὰ τὴν νεότητα. αἱ δὲ γυναῖκες οὐχ ἁλίσκονται ὑπὸ τοῦ νοσήματος τούτου, οὐδὲ παρθένοι ᾗσι τὰ ἐπιμήνια φαίνονται. οἷσι δὲ ῥεύματα δακρύων πολυχρόνια, ἢ νυκτάλωπες γίνονται, τούτους ἐπερωτᾷν, ἢν τὴν κεφαλὴν προηλγηκότες ἔωσι, πρὸ τῶν ἀποκηρυγμάτων τουτέων.

Ὁκόσοι δὲ μήτε πυρετήναντες, μήτε ἄχροοι ἐόντες, ἀλγέουσι πολλάκις τήν τε κορυφὴν, καὶ τοὺς κροτά

φους, ἢν μὴ τὴν ἄλλην φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τούτοισιν αἷμα ῥαγῆναι διὰ τῶν ῥινῶν προσδέχεσθαι. οἷσι δὲ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, δοκέουσιν οἱ δ' ὑγιαίνειν τἄλλα· τούτους δὲ ἢ σπλῆνα εὑρήσεις ἐπηρμένον ἔχοντας, ἢ τὴν κεφαλὴν ἀλγέοντάς τε καὶ μαρμαρυγῶδές τι πρὸ τῶν ὀφθαλμῶν φαινόμενον σφίσι. τοῖσι δὲ πλείστοισι τούτων ἅμα καὶ τὰ ἀπὸ τῆς κεφαλῆς οὕτως ἔχοντα φαίνεται, καὶ τὰ ἀπὸ τοῦ σπληνός.

Οὖλα δὲ πονηρὰ καὶ στόματα δυσώδεα, οἷσι σπλῆνες μεγάλοι· ὁκόσοι δὲ ἔχουσι σπλῆνας μεγάλους, μήτε αἱμοῤῥαγίαι

ra dolent, ſi nõ alium manifeſtũ habuerint abſceſſum in facie, aut grauiter loquantur, aut dẽtes doleãt, his ſanguinem per nares erupturũ eſſe expectandũ eſt. Quibus verò ex naribus ſanguis fluit, hi alioqui ſani eſſe vidẽtur: hos autem vel ſplenem in tumorem eleuatum habere comperies, vel caput dolere, & ſplendicans quiddam ipſis ob oculos obuerſari. Pleriſque verò horum ſimul & caput & ſplen, hoc modo ſe habere apparent.

Gingiuæ vitiatæ, & ora graueolentia his ſunt, quibꝰ ſplenes magni. Qui verò habent ſplenes magnos, nec ſanguinis eruptiones

fiũt, nec os fœtidũ, horũ tibiæ praua vlcera habẽt, & cicatrices nigras. sin aliũ patẽtem habeãt abſceſsũ in facie, aut graue loquãtur, aut dẽtib⁹ doleãt, ijs sanguinis eruptio per nares expectãda. at quib⁹ partes ſub oculis valde attollũtur ijs eſſe magnos lienes cõperies. Sin & in pedibus tumores accedãt, aquã etiam habere videbuntur. verùm vẽter, & lũbi ſpectãdi.

Diſtortiones verò in facie, nulli alij corporis parti cõmunes, cito ſedãtur aut ſua ſpõte, aut neceſsitate: reliqui verò ſiderantur. Quibus pręter motus impotẽtiã attenuatur

γίνονται, μήτε στόμα δυσῶδες, τουτέων αἱ κνῆμαι ἕλκεα πονηρὰ ἴσχουσι, καὶ οὐλὰς μελαίνας. ἣν δ' ἄλλην φανερὴν ἔχωσιν ἀπόστασιν ἐν τῷ προσώπῳ, ἢ βαρὺ φθέγγωνται, ἢ ὀδόντας ἀλγέωσι, τουτέοισιν αἱμοῤῥαγίην διὰ ῥινῶν προσδέχεσθαι. οἷσι δὲ τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἐπαίρεται ἰσχυρῶς, τούτους σπλῆνας μεγάλους εὑρήσεις ἔχοντας. εἰ δὲ καὶ ἐν τοῖσι ποσὶν οἰδήματα προσγίνονται, καὶ ὕδωρ φανήσονται ἔχοντες· ἀλλὰ καὶ τὴν γαστέρα, καὶ τὴν ὀσφὺν ἐπικατιδεῖν.

Τὰ δὲ ἐν τοῖσι προσώποισι παραστρέμματα, ἣν μηδενὶ ἄλλῳ τοῦ σώματος ἐπικοινωνέῃ, ταχέως παύεται, καὶ αὐτόματα καὶ πρὸς ἀνάγκας. οἱ δ' ἄλλοι ἀπόπληκτοι. οἷσι μετὰ τοῦ μὴ δύνασθαι κινέειν, λεπτύνεται τὸ

νενοσηκὸς τοῦ σώματος, οὗτοι ἀδυνάτουσι εἰς τὸ καθίστασθαι. οἷσι δὲ ἔξω τήξιες μὴ ἐπιγίνονται, οὗτοι δὴ ἔσονται ὑγιέες. περὶ δὲ τοῦ χρόνου ὁπότε ἔσονται, προλέγειν ἔς τε τὴν ἰσχὺν τοῦ νοσήματος ὁρῶντα, καὶ ἐς τὸν χρόνον, καὶ ἐς τὴν ἡλικίην τοῦ ἀνθρώπου, καὶ εἰς τὴν ὥρην, εἰδὼς ὅτι τὰ παλαιότατα τῶν νοσημάτων, καὶ τὰ κάκιστα, καὶ κυλινδούμενα, βαρύτατα ὑπακούει· καὶ τὰ ἐν τοῖσι γεραιτάτοισι τῶν σωμάτων. ἔστι δὲ καὶ τὸ φθινόπωρόν τε καὶ ὁ χειμὼν τοῦ ἦρός τε καὶ τοῦ θέρεος ἀνεπιτηδειότερος ταῦτα τὰ νοσήματα ἀφιέναι.

Αἱ δὲ ἐν τοῖσιν ὤμοισι γενόμεναι ὀδύναι, ὁκόσαι μὲν ἐς τὰς χεῖρας ἐπικαταβαίνουσαι, νάρκας τε καὶ ὀδύνας πα-

morbida pars corpo-
ris, hi ſanari nequeũt.
at quib⁹ colliquatio-
nes nõ accedunt, hi ſa
ni euadẽt. Cæterũ de
tempore quãdo ſani
erũt, prædicẽdũ eſt, re
ſpectu habito ad vim
morbi, ad tẽpus, & ad
ætatẽ hominis, & ad
anni tẽpus, ita vt eius
rei memor ſis, quod
vetuſtiſsimi morbi, &
peſsimi, & qui reuol-
uuntur, grauiſsimè
obediunt: itémque hi
qui ſunt in vetuſtiſsi-
mis corporib⁹. Sed &
autũnus & hyems, ad
tales morbos ſubmo-
uẽdos minorem com
moditatem exhibent
quàm ver & æſtas.

Dolores porrò in
humeris orientes, qui
quidem ad manus
deſcendunt, torporéſ-
que ac dolores indu-

cunt, his abſceſſus nõ ſuccedũt, verũ nigrã bilẽ vomẽtes ſanãtur. Qui verò iſthic in humeris manent, aut etiã ad dorſum ꝓgrediũtur, eos puris, aut atræ bilis vomitu effugiũt. Verùm de his ita cõſiderationẽ facere oportet. Si quidem enim facilè ſpirauerint ac graciles fuerint, atrã bilem ipſos vomituros eſſe ſpes eſt. Si verò difficiliùs ſpirauerint, & in faciem ipſis color incurrit qui prius nõ erat, ſiue rubicundus, ſiue niger, eos magis pus ſputuros eſſe ſperandum eſt. Ad hæc verò conſiderandum eſt etiã, an in pedibus tumores ſint: nam & hoc ſignum in his cõſentit. Atque hic mor

ρέχουσιν, ταύτῃσιν ἀποστάσιες μὲν οὐκ ἐπιγίνονται· ὑγιάζονται δὲ, μελαίνας χολὰς ἐμέοντες. ὁκόσαι δὲ αὐτοῦ μένουσιν ἐν τοῖσιν ὤμοισιν, ἢ καὶ ἐς τὸν νῶτον ἀφικνέονται, ταύτας πῦον ἐμέσαντες ἐκφυγγαίνουσιν, ἢ μέλαιναν χολήν. καταμανθάνειν δὲ περὶ τουτέων ὧδε· ἢν μὲν εὔπνοοι ἔωσι καὶ ἰσχνοὶ, μέλαιναν χολὴν αὐτοὺς μᾶλλον ἐλπὶς ἐμέσαι. εἰ δ' αὖ δυσπνοώτεροι, καὶ ὑπὸ τοῦ προσώπου ἐπιτρέχει τι αὐτοῖσι χρῶμα, ὃ πρόσθεν οὐκ ἐπεγίνετο, ὑπέρυθρον, εἴτε μέλαν, τούτους πῦον ἐλπὶς μᾶλλον πτύσειν. σκέπτεσθαι δὲ πρὸς τούτοισι, καὶ εἰ ἐν τοῖσι ποσὶν οἰδήματα ἔνεστι· καὶ γὰρ τοῦτο τὸ σημεῖον τούτοισιν ὁμολογέον ἐστί. τὸ δὲ νόση-

μα τοῦτο, τοῖσιν ἀνδράσι προσγίνεται ἰσχυρότατον, τοῖσιν ἀπὸ τεσσαράκοντα ἐτέων ἐς τὰ ἑξήκοντα. τὴν ἡλικίην δὲ ταύτην μάλιστα ἰσχιάδες βιάζονται.

Σκέπτεσθαι δὲ δεῖ ὧδε περὶ ἰσχιάδων ὁκόσοισι γὰρ τῶν γεραιτέρων αἵ τε νάρκαι ἰσχυρόταται καὶ καταψύξιες τῆς ὀσφύος τε καὶ τῶν σκελέων, καὶ τὸ αἰδοῖον ἐπαίρειν ἀδυνατέουσι, καὶ ἡ γαστὴρ οὐ διαχωρέει, εἰ μὴ πρὸς ἀνάγκην, καὶ κοπρώδης μύξα πολλὴ διεξέρχεται, τουτέοισι χρονιώτατον τὸ νόσημα ἔσται· καὶ προλέγειν ἐνιαυτὸν τὸ ἐλάχιστον, ἀφ' οὗ χρόνου ἤρξατο τὸ νόσημα γίνεσθαι. καὶ τὰς ὠφελείας ἐς τὸ ἔαρ τε

bus, viris vehemẽtissimus esse solet, à quadragesimo anno vsq; ad sexagesimũ. Qua ætate etiam coxendicum morbus maximè affligit.

Porrò de coxendicũ morbo sic considerationẽ facere oportet. Quibuscunq; senioribus torpores vehementissimi sunt, & perfrigerationes tum lũborum, tum crurũ, & qui pudendũ arrigere nõ possunt, & q·bus aluus nõ egerit, nisi ad necessitatem coacta, & prodit ipsis multus stercoraceus mucꝰ, his maximè diuturnus morbus erit: prædicendúmque est annum vt minimum duraturum esse morbũ, ab eo tẽpore quo incepit, & opẽ ad ver,

& æſtatẽ expectandã eſſe. At verò iuuenibus nõ quidẽ min⁹ doloris inducit coxẽdicũ morbus, verũ breuior eſt. nã xl. die liberãtur. Sed neq; torpores vehemẽtes accedunt, neq; perfrigerationes crurũ ac lũborũ. Quibus autem hic morbus eſt quidẽ in lũbis ac cruribus, nõ autẽ affligit adeo vt decũbant, conſiderare oportet an alicubi ſint collectiões in coxa, & interrogare an ad inguẽ dolor ꝓgrediatur. Si enim ambo hæc habet, diuturnus fit morbus. Interrogãdũ inſuper eſt, an in femore torpores inſint, & ad poplitẽ ꝓgrediãtur, & ſi hoc fateatur, rurſus rogandũ, an & ꝑ tibiã ad ſummũ pe-

καὶ τὸ θέρος προσδέχεσθαι. τοῖσι δὲ νεανίσκοισιν, ἐπώδυνοι μὲν οὐχ ἧσσον αἱ ἰσχιάδες, βραχύτεραι δέ· καὶ γὰρ τεσσαρακονθήμεροι ἀπαλλάσσονται. ἀλλ' οὐδὲ αἱ νάρκαι ἐπιγίνονται ἰσχυραί, οὔτε αἱ καταψύξιες τῶν σκελέων τε καὶ τῆς ὀσφύος. οἷσι δὲ τὸ νόσημα τοῦτο ἐστὶ μὲν ἐν τῇ ὀσφύϊ καὶ τῷ σκέλεϊ, βιάζεται δὲ οὐχ οὕτως ὥστε κατακέεσθαι, ξυστρέμματα σκέπτεσθαι μή που ἐν τῷ ἰσχίῳ, καὶ ἐπανέρεσθαι, εἰ εἰς τὸν βουβῶνα ἡ ὀδύνη ἀφικνεῖται. ἢν γὰρ ταῦτ' ἔχῃ ἄμφω, χρόνιον τὸ νόσημα γίνεται. ἐπανέρεσθαι δὲ καὶ εἰ ἐν τῷ μηρῷ νάρκαι ἐγγίνονται, καὶ ἐς τὴν ἰγνύην ἀφικνεῦνται· καὶ ἢν φῇ, αὖθις ἐρέεσθαι, καὶ ἢν διὰ τῆς κνήμης, ἐπὶ τὸν ταρσὸν τοῦ

ποδός. ὁκόσοι δ' αὖ του-
τέων τὰ πλεῖστα ὁμολο-
γέωσιν, εἰπεῖν αὐτοῖσιν, ὅ-
τι τὸ σκέλος σφιν, ὅτε μὲν
θερμὸν γίνεται, ὅτε δὲ ψυ-
χρόν. ἡ δὲ νοῦσος αὕτη, ὁκό-
σοισι μὲν ἀνὰ τὴν ὀσφὺν
ἐκλείπουσα ἐς τὰ κάτω
τρέπεται, θαρσύνειν. ὁκό-
σοισι δὲ τά τε ἰσχία καὶ τὴν
ὀσφὺν μὴ ἐκλείπουσα
εἰς τὰ ἄνω τρέπεται, προ-
λέγειν δεινὰ εἶναι· οἷσι δὲ
περὶ τὰ ἄρθρα, ὀδύναι
τε γίνονται καὶ ἐπάρσιες,
καὶ καταπαύονται, οὐκ ἐν
τῷ ποδαγρικῷ τρόπῳ,
εὑρήσεις τά τε σπλάγ-
χνα μεγάλα, καὶ ἐν τῷ οὔ-
ρῳ λευκὴν ὑπόστασιν. καὶ
τοὺς κροτάφους ἢν ἐπαεί-
ρῃ, φήσει πολλάκις ἀλ-
γέειν, φήσει δὲ καὶ ἱδρῶ-
τας αὐτῷ γίνεσθαι νυκτε-
ρινούς. ἢν δὲ μήτε ὑπὸ
τῷ οὔρῳ ὑφίσταται ἡ ὑπό-
στασις αὕτη, μήτε οἱ ἱ-
δρῶτες γίνονται, κινδυ-

dē ꝓcedāt. Qui enim
pleraq; horū confessi
fuerint, his dicēdum
crura nūc calida, nūc
frigida fieri. Quòd
si morbus hic lumbos
relinquēs, aliquibus
ad infernas partes ver
tatur, eos confidentes
esse iube. Quibuscūq;
verò coxas & lūbos
nō relinquēs, ad sup-
nas partes cōuertitur,
malū id esse prædicē-
dū est. At quib⁹ circa
articulos dolores fiūt
& tumores, & sedan-
tur, nō podagrico mo
do, in his cōperies vi-
scera magna, & in vri
na subsidētiam albā.
Et talis si tēpora ele-
uauerit, dicet se sæpe
dolere, dicet etiā su-
dores sibi nocturnos
oboriri. Si verò neque
in vrina subsidet talis
subsidētia, nec sudores

fiunt, periculũ est ne aut claudi fiãt articuli, aut affectio abscessus humore melli similis, sub ipsis nascatur. Fit autẽ hic morbus his quibus in pueritia & iuuentute sanguis ex naribꝰ fluere solitus desijt. Proinde interrogãdũ est de sãguinis eruptione, an ĩ iuuentute facta fuerit: & an pruriginosæ puncturæ, & in pectore, & in dorso insint: & quibus alui dolores fortes inducãt citra exturbationes, & quibus hæmorrhoides fiãt. hoc enim horum morborũ principium est. Si verò malo colore sint hi homines, interrogandũ est an caput doleant. Hoc enim fatebuntur. Quibus verò ex his alui dolores in dextris fuerint, dolores

νος ἢ χωλωθῆναι τὰ ἄρθρα, ἢ ὃ δὴ μελικηρίδα καλέουσι γίνεσθαι ὑπ' αὐτοῖσι. γίνεται δὲ τὸ νόσημα τοῦτο, οἷσιν ἐν τῇ παιδίῃ τε καὶ νεότητι ξυνήθεες ἐὸν αἱμάῤῥειν ἐκ τῶν ῥινῶν, ἐπέπαυτο. ἐπανέρεσθαι οὖν περὶ τῆς τοῦ αἵματος ῥήξιος, εἰ ἐγένετο ἐν τῇ νεότητι· καὶ αἱ κνιδώσιες ἐν τε τῷ στήθει καὶ τῷ μεταφρένῳ, εἰ ἔνεισι. καὶ ὁκόσοις αἱ κοιλίαι ἰσχυρὰς ὀδύνας παρέχουσιν ἄνευ ταραξίων, καὶ ὁκόσοισιν αἱμοῤῥοΐδες γίνονται· αὕτη γὰρ ἡ ἀρχὴ τῶν νοσημάτων τούτων. ἢν δὲ κακόχροοι οἱ ἄνθρωποι οὗτοι φαίνωνται, ἐπανέρεσθαι καὶ κεφαλὴν εἰ ὀδυνῶνται· φήσουσι γάρ. τούτων δὲ ὁκόσοισιν αἱ κοιλίαι ἐπώδυνοι ἐν τοῖς δεξιοῖς, εἰσὶ τὰ ἀλ-

γήματα ἰσχυρότερα γί-
νεται· καὶ μάλιστα ὅταν
πρὸς τῷ ὑποχονδρίῳ
κατὰ τὸ ἧπαρ τὸ ὑπόλειμ-
μα τῆς ὀδύνης ᾖ. ὠφελέει
δὲ ταύτας τὰς ὀδύνας
τὸ παραυτίκα ψόφος ἐν
τῇ γαστρὶ γινόμενος. ἐκθ'
ται δὲ ἡ ὀδύνη παύση-
ται, τὸ οὖρον παχὺ καὶ χλω-
ρὸν οὐρέουσιν. ἔστι δὲ θανα-
τώδης μὲν οὐδαμῶς ὁ τρό-
πος οὗτος, χρόνιος δὲ κάρ-
τα. ὁκόταν δὲ παλαιὸν
ἤδη ᾖ τὸ νόσημα, ἀμβλυ-
ώσσουσιν οἱ ἄνθρωποι
ὑπ' αὐτοῦ. ἀλλ' ἐπανέρε-
σθαι περὶ τοῦ αἵματος, εἰ
νέῳ ἐόντι ἔρρει, καὶ περὶ τοῦ
ἀμβλυωσμοῦ, καὶ περὶ τοῦ
οὔρου τῆς κενώσιος χλωρό-
τητος, καὶ ἀμφὶ τῶν ψόφων
εἰ ἐγγίνονται ἐστὶ καὶ ὠφε-
λέουσιν ἐπιγινόμενοι. φύ-
σουσι γὰρ πάντα ταῦτα. * εἴτε ἐρυθρόν ἐστι, εἴτε μέ-
λαν, συντείνουσι τοῦτον ἐλπίζειν μᾶλλον πλύσειν.
σκέπτεσθαι δὲ τουτέοισι καὶ ἐν τοῖσι ποσὶν οἰδήμα-
τα. τοῦτο γὰρ σημεῖον τουτέοισιν ὁμολογούμενόν ἐστιν.

his acriores fiunt, & præsertim quū ad præcordium iuxta hepar reliquiæ doloris fuerint. His autem doloribus prodest strepitus statim in aluo obortus. Postq̃ autē dolor quieuerit, vrinam crassā ac pallidā meiūt. Atq; hic mod⁹ letalis nō est, verū valde diuturn⁹. quū autē iā vetust⁹ fuerit morbus, homines ab ipso cæcutiūt. At de sāguine interrogare oportet, an in iuuētute fluxerit, & de visus hebetudine, & de vrinę euacuatiōis pallore, & de strepitib⁹ an insint & succedētes prosint. hęc enī oīa fatebūtur.

Impetigines & lepræ, & vitiligines albæ quibus quidé iuuenibus aut pueris aliquid horũ factũest, aut paulatim conſpectum in multo tempore augeſcit: his non putare oportet abſceſſum eſſe, eã papularũ eruptionẽ, ſed morbũ. Quib⁹ verò horũ quid factũ eſt multũ & derepente, hoc ſanè fuerit abſceſſus. Fiũt autẽ leucæ quidẽ ex letaliſsimis morbis, qualis eſt & morbus tabidus appellatus. Lepræ verò & impetigines, ex morbis ab atra bile. Ex his autem facilius ſanãtur ea quæ in maximè iuuenibus fiũt, & quæ recentiſsima sũt, & in molliſsimis ac carnoſiſsimis corporis partib⁹ producũtur.

Λειχῆνες δὲ καὶ λέπραι, καὶ λεῦκαι, οἷσι μὲν νέοισιν, ἢ παισὶν ἐοῦσιν ἐγένετό τι τούτων, ἢ κατὰ μικρὸν φανὲν, αὔξεται ἐν πολλῷ χρόνῳ, τούτοισι μὲν οὐ χρὴ ἀπόστασιν νομίζειν τὸ ἐξάνθημα, ἀλλὰ νόσημα· οἷσι δὲ ἐγένετο τούτων τι πολύ τε καὶ ἐξαπίνης, τοῦτο ἂν εἴη ἀπόστασις. γίνονται δὲ, λεῦκαι ἐκ μὲν τῶν θανατωδεστάτων νοσημάτων, οἷον καὶ ἡ νοῦσος ἡ φθινικὴ καλεομένη· αἱ δὲ λέπραι καὶ οἱ λειχῆνες, ἐκ τῶν μελαγχολικῶν. ἰῆσθαι δὲ τουτέων εὐπετέστερά ἐστιν, ὅσα νεωτάτοισί τε γίνεται, καὶ νεώτατά ἐστι, καὶ τοῦ σώματος ἐν τοῖσι μαλθακωτάτοισι, καὶ σαρκωδεστάτοισι φύεται.

HIPPO-

# ΙΠΠΟΚΡΑΤΟΥΣ ΠΕΡΙ ΕΝΥΠΝΙΩΝ.

Περὶ δὲ τῶν τεκμηρίων τῶν ἐν τοῖσιν ὕπνοισιν, ὅστις ὀρθῶς γινώσκει, μεγάλην ἔχοντα δύναμιν εὑρήσει πρὸς ἅπαντα· ἡ γὰρ ψυχὴ ἐγρήγορεν. ὅταν μὲν σώματι ὑπηρετοῦσα ᾖ, ἐπὶ πολλὰ μεριζομένη, οὐ γίνεται αὐτὴ ἑωυτῆς, ἀλλ' ἀποδίδωσί τι μέρος ἑκάστῳ τοῦ σώματος, ἤγουν τοῖσιν αἰσθητηρίοισιν, ἀκοῇ, ὄψει, ψαύσει, ὁδοιπορίῃ, πρήξεσι, καὶ πάσῃ τῇ τοῦ σώματος διανοίῃ· αὐτὴ δ' ἑωυτῆς ἡ διάνοια οὐ γίνεται. ὁκόταν δὲ τὸ σῶμα ἡσυχάσῃ, ἡ ψυχὴ κινευμένη, καὶ ἐπεξέρπουσα τὰ μέρη τοῦ σώματος,

# HIPPOCRATIS DE INSOMNIIS.

Visquis de his quæ in somnis obueniunt, rectè coniectat, is magnã habere vim ad omnia, ipsa reperiet: anima enim vigilat. & quũ quidẽ corpori inseruit], in multas partes distributa, nõ sui iuris est, sed partẽ aliquã singulis corporis partibus, siue sensibus distribuit, auditui, visui, tactui, gressui, actioni, ac omni corporis facultati: ipsa autẽ cogitatio sui iuris nõ est. Quum autẽ corp⁹ quiescit, anima in motu est, & corporis partes p-

reptans, domũ ſuam gubernat, & omnes corporis actiones ipſa perficit. Nã corpus dormiens nõ ſentit, ipſa verò vigilãs cognoſcit, ac viſibilia videt, & audibilia audit, vadit, tangit, triſtatur, animaduertit: in ſũma, quęcũq; corporis aut animę munia, ea omnia anima ipſa in ſõno obit. Quicũq; igitur hæc rectè iudicare nouit, magnam ſapientiæ partẽ nouit.

Quęcũque igitur sõnia diuina ſunt, & quædã euẽtura ſignificãt, aut vrbib⁹, aut populo priuato, ſiue bona, ſiue mala, non ob ipſorũ delictũ, de huiuſmodi sũt q iudicãt certã artẽ habẽtes.

Quæcũq; autẽ corporis affectiones ſunt,

διοικεῖ τὸν ἑαυτοῦ οἶκον, καὶ τὰς τοῦ σώματος πρήξιας ἁπάσας αὐτὴ διαπρήσσεται. τὸ μὲν γὰρ σῶμα καθεῦδον οὐκ αἰσθάνεται, ἡ δὲ ἐγρηγορέουσα γινώσκει, καθορῇ τε τὰ ὁρατὰ, καὶ ἀκούει τὰ ἀκουστὰ, βαδίζει, ψαύει, λυπεῖται, ἐνθυμέεται· ἐν ὀλίγῳ, ὁκόσαι τοῦ σώματος ὑπηρεσίαι, ἢ τῆς ψυχῆς, ταῦτα πάντα ἡ ψυχὴ ἐν τῷ ὕπνῳ διαπρήσσεται. ὅστις οὖν ἐπίσταται κρίνειν ταῦτα ὀρθῶς, μέγα μέρος ἐπίσταται σοφίης.

Ὁκόσα μὲν οὖν τῶν ἐνυπνίων θεῖά ἐστι, καὶ προσημαίνει τινὰ συμβησόμενα, ἢ πόλεσιν, ἢ τῷ ἰδιώτῃ λαῷ, ἢ κακὰ, ἢ ἀγαθὰ, μὴ δι' αὐτῶν ἁμαρτίην, εἰσὶν οἳ κρίνουσι περὶ τῶν τοιούτων ἀκριβῆ τέχνην ἔχοντες.

Ὁκόσα δὲ ἡ ψυχὴ τοῦ

σώματος παθήματα προσημαίνει πλησμονῆς ἢ κενώσιος ὑπερβολὴν τῶν ξυμφύτων, ἢ μεταβολὴν τῶν ἀηθέων, κρίνουσι μὲν καὶ ταῦτα· καὶ τὰ μὲν τυγχάνουσι, τὰ δὲ ἁμαρτάνουσι, καὶ οὐδέτερα τούτων γινώσκουσι, δι' ὅ, τι οὖν γίνεται, οὔθ' ὅ, τι ἂν ἐπιτύχωσιν, οὔθ' ὅ, τι ἂν ἁμάρτωσι· φυλάσσεσθαι δὲ παραινέοντες μή τι κακὸν λάβῃ, οὐ διδάσκουσιν ὡς χρὴ φυλάξασθαι, ἀλλὰ θεοῖσιν εὔξασθαι κελεύουσι. καὶ τὸ μὲν εὔχεσθαι πρέπον, καὶ λίην ἐστὶν ἀγαθόν. δεῖ δὲ καὶ αὐτὸν ξυλλαμβάνοντα τοὺς θεοὺς ἐπικαλέεσθαι. ἔχει οὖν περὶ τούτων ταῦτα ὧδε.

Ὁκόσα τῶν ἐνυπνίων τὰς ἡμερινὰς πράξιας τοῦ ἀνθρώπου ἢ διάνοια ἐς τὴν εὐφρόνην ἐνυπνιάζεται ἑσπέρην, καὶ ἀποδίδωσι

& anima per ipsas repletionis aut euacuationis excessum, aut cõsuetorũ mutationẽ premõstrat, dehis itidẽ iudicãt, & partĩ assequũtur, partĩ aberrãt, & de neutris rectè sentiũt, cur nam fiat neq; sciũt qñ assequunt, neq; qñ aberrãt: cauere admonẽtes ne qd mali accidat, nõ docẽt quõ cauẽdũ, verũ diis supplicare iubẽt. Et supplicare quidẽ decorũ ac valde bonũ est: oportet autẽ etiã ipsũ opitulari, & deos inuocare. De his igitur res hoc mõ se habet.

Quę ĩsomnia mẽs hoĩs in noctẽ ꝑ somnũ offert de diurnis actionibus, & reddit

quomodo facta sũt, ea quæ seria ac iusta in re per diem facta sunt, aut de quib⁹ cõsilium initũ est, hæc homini bona sunt. sanitatem enim significãt: propterea quod anima in diurnis cõsilijs ꝑseuerat, neq; repletione, neq; euacuatione, neque aliqua alia forinsecus allapsa re, victa. quũ autẽ insomnia diurnis actionib⁹ aduersantur, & de ipsis pugna oboritur, quum sanè hoc contigerit, turbationem in corpore significat. Et si quidẽ fortis fuerit, forte est malũ: si verò leuis, debilius.

De actione quidẽ igitur, an auertenda sit, siue nõ, nihil de-

κατὰ τρόπον γινόμενα, ἅπερ τῇσιν ἡμέρῃσιν ἐπράχθη, ἢ ἐβουλεύθη ἐν δικαίῳ πρήγματι, ταῦτα τῷ ἀνθρώπῳ ἀγαθά· ὑγείην γὰρ σημαίνει. διότι ἡ ψυχὴ παραμένει ἐν τοῖσιν ἡμερινοῖσι βουλεύμασιν, οὔτε πλησμονῇ τινὶ κρατηθεῖσα, οὔτε κενώσει, οὔτε ἄλλῳ οὐδενὶ ἔξωθεν προσπεσόντι. ὅταν δὲ πρὸς τὰς ἡμερινὰς πράξιας ὑπεναντιῶται τὰ ἐνύπνια, καὶ ἐγγίνηται περὶ αὐτέων ἡ μάχη, ἢ νίκη αὖ [illegible] συμβαίνῃ, ταραχὴν σημαίνει ἐν τῷ σώματι· καὶ ἢν μὲν ἰσχυρὴ ᾖ, ἰσχυρὸν τὸ κακόν· ἢν δὲ φαύλη, ἀσθενέστερον.

Περὶ μὲν οὖν τῆς πράξιος, εἴτε δεῖ ἀποτρέπειν, εἴτε μὴ δεῖ, οὐ

κρίνω. τὸ δὲ σῶμα τοῦ ἀν-
θρώπου θεραπεύεσθαι
ξυμβουλεύω· πλησμο-
νῆς γὰρ τινὸς ἐγγινομέ-
νης, ἀπόκρισις ἐγένετό
τις, ἥτις ἐτάραξε τὴν
ψυχήν. ἢν μὲν οὖν ἰσχυ-
ρὸν ᾖ τὸ ἐναντιωθὲν,
ἔμετόν τε ξυμφέρει
ποιήσασθαι, καὶ τοῖσι σι-
τίοισι κούφοισι προ-
σάγειν ἐς ἡμέρας πέν-
τε, καὶ τοῖσι περιπάτοι-
σι πολλοῖσι καὶ ὀξέσιν
ἐκ προσαγωγῆς χρέε-
σθαι, καὶ τοῖσι γυμνα-
σίοισιν ἐπιγυμνάζε-
σθαι συμμέτροισι πρὸς
τὴν προσαγωγὴν τῶν σι-
τίων. ἢν δὲ ἀσθενέστερον
τὸ ἐναντιωθὲν γένηται,
ἀφελὼν τὸν ἔμετον, τὸ
τρίτον μέρος ἄφελε τοῦ
σιτίου, καὶ τοῦτο ἡσυχῇ
προσάγου πάλιν ἐς
τὰς πέντε ἡμέρας, καὶ
τοῖσι περιπάτοισι πιέ-

cerno: verùm corpus
hominis curari con
ſulo. Repletione enĩ
aliqua intus facta,
ſecretio quædã con-
tigit, quæ animam
perturbauit. Si igi-
tur fortis fuerit con
trarietas, vomitum
facere cõducit, & ci-
bos leues exhibere
ſenſim adiiciẽdo ali
quid ad dies quinq;,
& deambulationib⁹
multis ac velocibus
ſenſim augeſcentib⁹
vti, & exercitiis exer
ceri moderatis, pro
ciborum aſſumpto-
rum ratione. Si verò
debilior fuerit con-
trarietas, detracto
vomitu, tertiam cibi
partẽ adime, atque
hãc ſenſim rurſus ad
dies quinq; adiice, &
deãbulationib⁹ pre

me. Sed & vocis exercitiis vtatur, & diis supplicet, & turbatio ipsi sedabitur.

At verò solẽ & lunam, & cœlũ ac stellas, pura atq; agilia solito more videre, singula bona sunt. sanitatẽ enĩ corpori significant ab omnibus presentibus. Verùm talem habitum præsenti diæta cõseruare oportet. Si verò quid contrarium his fiat, morbũ quẽdam corpori significat: à fortibus quidem, fortiorem: à debilioribus verò, leuiorẽ. Et astrorũ quidem exterior est in corpore circuitus, solis vero medius, lunæ autẽ ad cauitates. quodcũq; igitur horũ astrorũ

ξειν, καὶ τοῖσι τῆς φωνῆς πόνοισι χρεέσθω, καὶ τοῖσι θεοῖσιν εὐχέσθω, καὶ καταστήσεται αὐτῷ ἡ ταραχή.

Ἥλιον δὲ καὶ σελήνην, καὶ οὐρανὸν καὶ ἀστέρας καθαρὰ καὶ εὐαγέα κατὰ τρόπον ὁρώμενα ἕκαστα, ἀγαθά· ὑγείην γὰρ τῷ σώματι σημαίνει ἀπὸ πάντων τῶν ὑπαρχόντων· ἀλλὰ χρὴ διαφυλάσσειν ταύτην τὴν ἕξιν τῇ παρούσῃ διαίτῃ. εἰ δέ τι τούτων ὑπεναντίον γένοιτο, νοῦσόν τινα τῷ σώματι σημαίνει· ἀπὸ μὲν τῶν ἰσχυρῶν, ἰσχυροτέρην· ἀπὸ δὲ τῶν ἀσθενεστέρων, κουφοτέρην. καὶ ἄστρων μὲν οὖν ἡ ἔξω περίοδος· ἡλίου δὲ, ἡ μέσῃ· σελήνης δὲ, ἡ πρὸς τὰ κοῖλα. ὅ, τι μὲν οὖν δοκοίη τούτων τῶν ἄστρων

σβέννυσθαι, ἢ βλάπτεσθαι, ἢ ἀφανίζεσθαι, ἢ ἐπέχεσθαι τῆς περιόδου, κατ' αὐτὸ τὸ μέρος καὶ νοῦσον προσγίνεσθαι.

Καὶ ἢν μὲν ὑπὸ ἀέρος ὁρῆται, ἢ νεφέλης τι τῶν ἄστρων τούτων πάσχον, ἀσθενέστερον· ἢν δὲ ὑπὸ ὕδατος ἢ χαλάζης, ἰσχυρότερον. σημαίνει δὲ ἀπόκρισιν ἐν τῷ σώματι ὑγρὰν καὶ φλεγματώδεα γενομένην, ἐς τὴν ἔσω περιφορὴν ἐμπεπτωκέναι. ξυμφέρει τοιγαροῦν τούτῳ, τοῖσί τε δρόμοισιν ἐν τοῖσιν ἱματίοισι κεχρῆσθαι πολλοῖσιν ἐξ ὀλίγου προσάγοντα, ὅκως ἐξιδρώσῃ ὡς μάλιστα· καὶ τοῖσι περιπάτοισιν ἀπὸ τοῦ γυμνασίου, πολλοῖσι καὶ ἀναρίστοισι χρῆσθαι· τῶν τε σιτίων

extingui, aut lædi, aut disparere, aut sisti à circuitu suo videtur, iuxta illã ipsã partem morbum redundare significat.

Et si quidẽ ab aere, aut nebula, aliquod ex ipsis astris pati qd horũ videt, debiliorem: si verò ab aqua, aut grãdine, fortiorem. Significat autẽ secretionẽ in corpore humidã ac pituitosam factam esse, & in externã circunferentiã illapsam esse. Conducit itaq; huic & cursib⁹ in omni vestitu vti multis, sensim augescẽtibus, vt quàm maximè exudet. Item deambulationib⁹ ab exercitio multis citra prandiũ vti, & detracta cibo-

rum tertiā parte, ad dies quinque sensim adiiciēdo rursus exhibere. Sin fortius vi deatur esse, etiā fouē dū. nā per cuticulā purgare expedit, quod in externa circūferē tia offensa sit. Cibis verò vtendū est siccis, acribus, austeris, meracis, & laboribus maximè siccātibus.

Si verò quid horū luna patiatur, reuulsionem intro facere cōducit, vtiq; vomitu ab acribus & salsuginosis, ac mollibꝰ cibis: cursibꝰ autē circularibꝰ celeribꝰ, & deambulationibꝰ velocibus. Vtendū & vocis exercitiis & prā diū auferēdū, cibiq; detractione, ac rursꝰ appositione itidē v-

ἀφαιρεόμενος τὸ σίτου μέρος, προσάγειν ἐς πέντε ἡμέρας· εἰ δὲ δοκέοι ἰσχυρὸν εἶναι, καὶ πυριῆσαι· τὴν γὰρ κάθαρσιν διὰ τοῦ χρωτὸς ξυμφέρει ποιέεσθαι, διότι ἐν τῇ ἔξω περιφορῇ ἐστὶ τὸ βλάβος. τοῖσι δὲ σιτίοισι χρῆσθαι ξηροῖσι, δριμέσιν, αὐστηροῖσιν, ἀκρήτοισι, καὶ τοῖσι πόνοισι τοῖσι ξηραίνουσι μάλιστα.

Εἴ τι δὲ τούτων ἡ σελήνη πάσχοι, ἔσω τὴν ἀντίσπασιν ποιεῖσθαι ξυμφέρει, ἐμέτῳ χρησάμενον ἀπὸ τῶν δριμέων καὶ ἁλμυρῶν, καὶ μαλακῶν σιτίων· τοῖσι δὲ τρόχοισιν ὀξέσι, καὶ τοῖσι περιπάτοισιν ὀξέσι· τοῖσι δὲ τῆς φωνῆς πόνοισι καὶ ἀναριστίῃσι, καὶ τοῦ σίτου τῇ ἀφαιρέσει καὶ προσαγωγῇ ὡ-

σαύτως. διὰ τοῦτο γὰρ ἔσω ἀντισπαστέον· διότι πρὸς τὰ κοῖλα τοῦ σώματος βλαβερὸν ἐφάνη.

Εἰ δὲ ὁ ἥλιος τοιοῦτό τι πάσχει, ἰσχυρότερον τοῦτο ἤδη καὶ δυσεξαγωγότερον. δεῖ δὲ ἀμφοτέρως τὰς ἀντισπάσιας ποιεῖσθαι, καὶ τοῖσι δρόμοισι τοῖσι τε καμπτοῖσι τροχοῖσι χρῆσθαι, καὶ τοῖσι περιπάτοισι, καὶ τοῖσιν ἄλλοισι πόνοισι πᾶσι. τῶν δὲ σίτων τῇ ἀφαιρέσει, καὶ τῇ προσαγωγῇ ὡσαύτως. ἔπειτα ἐξεμέσαντα, αὖθις πέντε προσάγειν πρὸς τὰς

Εἰ δὲ αἰθρίης οὔσης θλίβεται καὶ ἀσθενέα δοκοίη εἶναι ὑπὸ τῆς ξηρασίης τῆς περιόδου κρατέεσθαι, σημαίνει κίνδυνον ἐς νοῦσον πεσεῖν. ἀλλὰ χρὴ τῶν πόνων ἀφ

tendũ eſt. Ob id autẽ intro reuellẽdũ eſt, qa ad cauitates corporis offẽſa apparet.

Si autẽ ſol tale qd patiat̃, fortius iã malum eſt, & tenacius. Oportet autẽ in vtrãque partẽ reuulſiones facere, & rectis curſibus, & curuis, & circularib⁹ vti, & deãbulationibus, & aliis laborib⁹ omnib⁹. Ciborũ autẽ detractione, ac rurſus appoſitione, eodem modo. deĩde vomere, & rurſus ſenſim cibos augere ad dies quinq;.

Si verò ſerenitate exiſtente premãtur hęc, & debilia eſſe videantur, & præ ſiccitate à circuitu ſuo impediri, periculũ ſignificãt delabẽdi in morbũ: verũ labor de-

trahẽdus,& diȩta humectiore ac mollivti,& balneis,ac ocio ãpliori, & sõno multo,dũ malũ ſedetur.

Si autẽ igneũ accalidũ eſſe videatur ꝙ ſe illis opponat,bilis ſecretionẽ ſignificat. Sin ſuperata hęc euaneſcãt, p̃iculũ eſt ad mortẽ p̃ueniendi ex morbo.Si verſa hæc eſſe videãtur,prçſentẽ ſtatũ in fugã verti ſignificãt.Fugere autẽ ipſa celeriter, eſſeq; qui ea perſequãtur,periculũ denunciãt futuræ inſaniæ hominis, ſi nõ curatus fuerit. Omnibus autẽ his conducit,vt veratro purgati optimã vict⁹ rationẽ inſtituãt:ſin min⁹ vt victu ad aquã tendẽte

φαρέειν, τῇ τε διαίτῃ ὑγροτέρῃ καὶ μαλακῇ χρέεσθαι, καὶ λουτροῖσι, καὶ ῥαθυμίῃ πλέονι, καὶ ὕπνῳ πολλῷ, μέχρις ἂν καταστήσῃ.

Εἰ δὲ πυροειδὲς δοκοίη εἶναι τὸ ἐναντιούμενον καὶ θερμὸν, χολῆς ἀπόκρισιν σημαίνει· εἰ δὲ καὶ ἀφανίζοιτο τὰ κρατούμενα, κίνδυνος ἐς θάνατον ἐκ τῆς νόσου γενέσθαι· εἰ δὲ στρεφθῆναι δοκοίη, τραπῆναι ἐς φυγὴν τὸ ὑπάρχον. φεύγειν δὲ ταχέως, τὸν δὲ διώκειν, κινδύνος μανῆναι τὸν ἄνθρωπον, ἢν μὴ θεραπευθῇ. ξυμφέρει δὲ τούτοισι πᾶσι, κάλλιστα μὲν ἐλλεβόρῳ κρατηθέντας διαιτῆσθαι. ἢν δὲ μὴ, τῇ πρὸς ὕδατος διαίτῃ χρέεσθαι ξυμφέρει. οἶνον δὲ μὴ πίνειν· εἰ δ' οὖν, λευκὸν,

vtãtur. vinum verò ne bibant aut omnino

λεπτὸν, μαλακὸν, ὑδαρῆ. ἀπέχεσθαι δὲ δριμέων, ξηραντικῶν, θερμαντικῶν, ἁλμυρῶν. πόνοισι δὲ ὅτι κατὰ φύσιν πλείστοισι χρῆσθαι, καὶ δρόμοισιν ἐν ἱματίῳ πλείστοισι. τρίψις δὲ μὴ ἔστω, μηδὲ πάλη, μηδὲ ἀλίνδησις. ὕπνοισι μαλακοῖσιν εὑδέτω, καὶ ῥαθυμείτω, πλὴν τῶν κατὰ φύσιν πόνων. ἀπὸ δὲ τοῦ δείπνου περιπατείτω. ἀγαθὸν δὲ καὶ πυριῆσθαι· ἐμέειν δὲ ἐκ τῆς πυρίης. τριήκοντα δὲ ἡμερέων μὴ πληρωθῇ· ὅταν δὲ πληρωθῇ, δὶς ἐν τῷ μηνὶ ἐμεσάτω ἀπὸ τῶν γλυκέων, καὶ ὑδαρῶν, καὶ κούφων.

Ὁκόσα δὲ τούτων πλανᾶται ἄλλοτε ἄλλῃ μὴ ὑπ' ἀνάγκης, ψυχῆς τινὰ ταραξιν σημαίνει ἀπὸ μερίμνης.

albũ, tenue, molle & aquoſum. Abſtineant autẽ ab acribus, reſiccãtibus, calfaciẽtib⁹, ac ſalſuginoſis. Laboribus ſecundũ naturã plurimis vtãtur, & curſibus in veſtitu plurimis. Frictio verò ne fiat, neq; lucta, neq; volutatio in puluere. Sõnis vtatur mollib⁹, & ĩ ocio degat, exceptis laboribus naturalib⁹: à cœna deãbulet. Bonũ eſt & fomẽtis vti: à fomẽtis verò vomere. p xxx. verò dies nõ repleatur. Quũ autẽ repletus fuerit, bis in mẽſe vomat à dulcib⁹, aquoſis, ac leuib⁹.

Quæcũq; autem ex his aliâs aliò præ nulla neceſsitate errãt, animæ turbationẽ quãdã pręcura ſignificãt.

Confert autem huic ociũ, & animũ conuerti ad ſpectacula, maximè riſum mouentia: quod ſi fieri non poſſit, ad id ex quo ad biduũ aut triduũ maximè voluptatẽ capiat, & ſedabitur. Sin minus, periculum eſt de labendi in morbum.

ξυμφέρει δὲ τούτῳ ῥᾳθυμῆσαί τε καὶ τὴν ψυχὴν τραπῆναι πρὸς θεωρίας· μάλιστα μὲν πρὸς τὰς φερούσας γέλωτας· εἰ δὲ μὴ, ὅ,τι μάλιστα ἡσθήσεται θεασάμενος, ἡμέρας δύο ἢ τρεῖς, καὶ καταστήσεται. εἰ δὲ μὴ, κίνδυνος ἐς νοῦσον πίπτειν.

Quæcunq; aſtra ex circunferẽtia excidere videntur, ſuntq; pura & ſplendida, & vltrà ac prorſum ferri videntur, ſanitatẽ ſignificant. Quicquid enim in corpore parũ ex circuitu excernitur ſecundum naturã à veſpera in aurorã, id ipſum recte habet. Nã & quæ in vẽtre ſecernũtur, & quę in carnẽ eructantur, omnia ex circuitu ac circũſe

Ὅ,τι δ' ἂν ἐκ τῆς περιφορῆς ἐκπίπτειν δοκέῃ τῶν ἄστρων, ὁκόσα μὲν καθαρὰ καὶ λαμπρὰ, καὶ πρόσω δοκεῖ φέρεσθαι, ὑγείην σημαίνει· ὅ,τι γὰρ ἐν τῷ σώματι καθαρὸν ἐὸν, ἐκκρίνεται ἐκ τῆς περιόδου κατὰ φύσιν ἀφ' ἑσπέρας πρὸς ἠῶ, ὀρθῶς ἔχει· καὶ γὰρ τὰ ἐν τῇ κοιλίῃ ἀποκρινόμενα, καὶ τὰ ἐς τὴν σάρκα ἀπερευγόμενα, ἅπαντα ἐκ τῆς

περιόδου ἐκπίπτει.

Ὅ,τι δ' αὖ τούτων μέλαν καὶ ἀμυδρὸν, καὶ πρὸς ἑσπέρην δοκέῃ φέρεσθαι, ἢ ἐς τὴν θάλασσαν, ἢ ἐς τὴν γῆν, ἢ ἄνω, μᾶλλον ταῦτα σημαίνει τὰς νούσους· τὰ μὲν ἄνω φορόμενα, ῥεῦμα κεφαλῆς ἐστὶ δηλοῦντα· ὁκόσα δὲ ἐς θάλασσαν, κοιλίης νοσήματα· ὁκόσα δὲ ἐς γῆν, ἐκφύματα μάλιστα σημαίνει, τὰ ἐν τῇ σαρκὶ φυόμενα. τούτοισι ξυμφέρει, τὸ τρίτον μέρος τοῦ σίτου ἀφελέεσθαι· ἐμέσαντα δὲ προσάγειν ἐς ἡμέρας πέντε. ἐν ἄλλῃσι δὲ πέντε κομίσασθαι τὰ σιτία πάντα· καὶ ἐμέσαντα πάλιν προσαγέσθω κατὰ τὸν αὐτὸν τρόπον.

rentia excidunt.

Quæcũq; verò nigra & obſcura ſunt, & ad veſperã ac occasũ ferri vidẽtur, aut in mare, aut in terrã, aut ſurſum, ea magis morbos ſignificãt. Et quæ quidẽ ſurſum ferũtur, fluxum capitis ſignificãt. Quæ verò in mare, ventris morbos. quæ in terram, tubercula maximè ſignificant ex carne enaſcentia. His conducit tertiã cibi partem detrahere: & à vomitu ad dies quinq; eandẽ rurſus ſenſim adiiciẽdo exhibere, in aliis autẽ quinq; dieb⁹ cibos omnes aſſumere, & vomitu facto, rurſus eodẽ modo cibus ſenſim auctus exhibeatur.

Quæcunq; verò ex his pura & candida in cœlo exhærere videbūtur, ſanū eſſe ſignificāt, quia quod in hominē deſcendit, ex æthere eſt. Tale autē videt anima, quale ſanè deſcenderit.

Quæ autem nigra fuerint, & nō pura, neque cōſpicua, morbū ſignificāt, nō propter repletionē, neq; euacuationē, ſed forinſecus inductā. Huic cōfert curſibus circularibꝰ velocibꝰ vti, quo quàm minima corporis colliquatio fiat, & ſpiritu quàm denſiſsimo vtens, id quod inductū eſt excernat. à curſibus autē, deambulationibꝰ celeribus vtendū eſt. Victus autē mollis & leuis ad dies

Ο, τι δ' ἂν τούτων οὐρανίοισιν ἐφέξεσθαι δόξῃσι καθαρὸν καὶ ὑγρὸν ἐόν, ὑγιαίνειν σημαίνει, διότι ἐκ τοῦ αἰθέρος ἐς τὸν ἄνθρωπον κατελθόν ἐστι. τοιοῦτον δὲ καὶ ἡ ψυχὴ ὁρᾷ, οἷόν περ ἐσέλθῃ.

Ο, τι δ' ἂν μέλαν, ἢ καὶ μὴ καθαρὸν, μηδὲ ἀφανὲς, νοῦσον σημαίνει, οὔτε διὰ πλησμονὴν, οὔτε διὰ κένωσιν, ἀλλ' ἔξωθεν ἐπαγωγῆς. ξυμφέρει δὲ τούτῳ τροχοῖσιν ὀξέσι κεχρῆσθαι, ὅκως συντήξις ὡς ἐλαχίστη τοῦ σώματος γένηται· πνεύματι δὲ ὡς πυκνοτάτῳ χρησάμενος, ἐκκρίνῃ τὸ παρελθόν, ἀπὸ δὲ τῶν τροχῶν, περιπάτοισιν ὀξέσιν. ἡ δὲ δίαιτα, μαλακὴ καὶ κούφη προσαχθήτω

ἐς ἡμέρας τέσσαρας.

Ὅ,τι δ' αὖ λαμβάνειν παρὰ θεοῦ δοκῇ καθαρὸν, ἀγαθὸν πρὸς ὑγείην σημαίνει· τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα, εἶναι καθαρά. ὅ,τι δ' αὖ τούτου τὸ ἐναντίον δοκῇ ὁρᾶν, οὐκ ἀγαθόν· νοῦσον γὰρ ἐς τὸ σῶμα σημαίνει ἐληλυθέναι. χρὴ οὖν ὡς τὸν πρότερον, θεραπευθῆναι καὶ τοῦτον.

Εἰ δὲ δοκοίη ὕεσθαι ὕδατι μαλθακῷ ἐν εὐδίῃ, καὶ μὴ σφόδρα βρέχεσθαι, μηδὲ δεινῶς χειμάζειν, ἀγαθόν· σημαίνει γὰρ σύμμετρον καὶ καθαρὸν τὸ πνεῦμα ἐκ τοῦ ἠέρος ἐσεληλυθέναι.

Εἰ δὲ τούτων τἀναντία, σφόδρα ὕεσθαι, καὶ χειμῶνα καὶ ζάλην εἶναι, ὕδατί τε μὴ καθαρῷ,

quatuor offeratur.

Quicquid porrò à deo accipere quis sibi videtur purũ, bonum est ad sanitatẽ: significat enim ea quæ in corp⁹ ingesta sunt, pura esse. Quicquid verò huic contrariũ videre quis putat, nõ est bonum: morbũ enim in corpus venisse significat. Oportet igitur velut priorem etiam hunc curari.

Si quis se cõplui putet clementi cœlo, aqua molli, & non valde madefieri, neq; vehemẽtem tempestatẽ ingruere, bonũ est. significat enim moderatum ac purũ spiritũ ex aere ingressũ esse.

Si verò vice versa, valde complui quis sibi videatur, & tempestatẽ ac turbinem esse, idque aqua nõ pura

morbũ designat à spiritu, qui in ipso est. Verũ oportet etiã hũc simili diæta vti, & omnes hos pauco cibo ali.

De significationibꝰ quidẽ igitur astrorũ sic iudicare oportet, prouidereq; ac diætã statuere, & diis supplicare, in secũdis rebus, Soli, Ioui cœlesti, Ioui possessori, Mineruæ opulentæ, Mercurio, Apollini. In cõtrariis, diis malorum auersoribꝰ, & terræ, & heroibꝰ, quo mala ac grauia oĩa auertant.

Cæterũ & hęc sanitatẽ pręsignant. Nimirum ea quæ in terra fiunt, acutè videre, & audire, & securè iter facere, & securè ac citra timorem currere, & videre terram

νοῦσον σημαίνει ἀπὸ πνεύματος τοῦ ἐπ' αὐτοῦ. ἀλλὰ χρὴ καὶ τοῦτον ὡσαύτως διαιτηθῆναι σιτίοισί τε ὀλίγοισι πάντας τούτους.

Περὶ μὲν τῶν οὐρανίων σημείων ἄστρων, οὕτω χρὴ γινώσκοντα προμηθέεσθαι, καὶ ἐκδιαιτᾶσθαι καὶ τοῖς θεοῖς εὔχεσθαι. ἐπὶ μὲν τοῖσιν ἀγαθοῖσιν, ἡλίῳ, Διὶ οὐρανίῳ, Διὶ κτησίῳ, Ἀθηνῇ κτησίῃ, Ἑρμῇ, Ἀπόλλωνι· ἐπὶ δὲ τοῖσιν ἐναντίοισι, τοῖσιν ἀποτροπαίοισι, καὶ γῇ, καὶ ἥρωσιν ἀποτρόπαια γενέσθαι τὰ χαλεπὰ πάντα.

Προσημαίνει δὲ καὶ τάδε πρὸς ὑγείην· τὴν ἐπὶ γῆς ὀξὺ ὁρῆν, καὶ ἀκούειν, ὁδοιπορέειν τε ἀσφαλῶς, καὶ τρέχειν ἀσφαλῶς καὶ ἄτερ φόβου, καὶ τὴν γῆν ὁρῆν

λείην

λείην καὶ καλῶς εἰργασμένην, καὶ τὰ δένδρεα θαλέοντα, καὶ πολύκαρπα, καὶ ἥμερα, καὶ ποταμοὺς ῥέοντας κατὰ τρόπον, καὶ ὕδατι καθαρῷ, μήτε πλείονι, μήτε ἐλάττονι τοῦ προσήκοντος· τὰς τε κρήνας, καὶ τὰ φρέατα ὡσαύτως. ταῦτα πάντα οὕτως ὁρώμενα, σημαίνει ὑγείαν τῷ ἀνθρώπῳ, καὶ τὸ σῶμα κατὰ τρόπον, πάσας τε τὰς περιόδους καὶ τὰς προσαγωγὰς, καὶ τὰς ἀποκρίσεις εἶναι.

Εἰ δέ τι τούτων ὑπεναντίον ὁρῷτο, βλάβος σημαίνει τι ἐν τῷ σώματι· ὄψεως μὲν καὶ ἀκοῆς βλαπτομένων, περὶ τὴν κεφαλὴν νόσον σημαίνει. τοῖσιν οὖν ὀρθρίοισι περιπάτοισι, καὶ τοῖσιν ἀπὸ δείπνου

leuem ac probè cultam, & arbores florentes, fructuosasque, ac satiuas, & flumina solito more fluentia, & aqua pura, neque copiosiore, neque pauciore quàm cõueniẽs est: item fontes, & puteos eodẽ modo. Hæc omnia sic visa, sanitatem homini designãt, & corpus rectè habere, omnesq; circuitus, & exhibitiones ciborũ, ac secretiones, integras esse.

Si verò quid his cõtrarium videatur, detrimẽtum aliquod in corpore significat: & visus quidẽ ac auditus læsus, morbũ circa caput significat. Itaque matutinis deambulationibus, itemq; à cœna pluribus vtẽdũ est,

ad superiorem diætã. Crurib⁹ verò lęsis, vomitib⁹ reuellendũ est & lucta ampliore vtẽdũ, vltra superiorẽ diętã. Terra autẽ aspera, carnẽ nõ purã significat, quare deambulationibus ab exercitiis pluribus vtẽdum est.

Arborum verò sterilitas, seminis humani corruptionẽ indicat. Si igit folia arborib⁹ decidant, ab humidis ac frigidis corpus læditur. Si verò floridæ sint arbores, verũ infructuosæ, à calidis & siccis. hæc igit p dięta frigefacere ac humectare oportet, illa verò siccare ac calfacere.

Flumina autem nõ solito more fluentia, sanguinis circuitũ si-

πλέοσι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ· τῶν σκελέων δὲ βλαπτομένων. ἐμέτοισιν ἀντισπαστέον, καὶ τῇ πάλῃ πλείονι χρηστέον πρὸς τῇ προτέρῃ διαίτῃ. γῆ δὲ τραχείη, οὐ καθαρὰν τὴν σάρκα σημαίνει. τοῖσιν οὖν ἀπὸ γυμνασίων περιπάτοισι πλείοσι ποιητέον.

Δενδρέων δὲ ἡ ἀκαρπία, σπέρματος τοῦ ἀνθρωπίνου διαφθορὴν δηλοῖ. ἢν μὲν οὖν φυλλοῤῥοοῦντα ᾖ τὰ δένδρεα, ὑπὸ τῶν ὑγρῶν καὶ ψυχρῶν βλάπτεται. ἢν δὲ τεθηλημένα, ἄκαρπα δὲ ᾖ, ὑπὸ τῶν θερμῶν καὶ ξηρῶν. τὰ μὲν οὖν, τοῖσι διαιτήμασι χρὴ ξηραίνειν καὶ θερμαίνειν, τὰ δὲ ψύχειν καὶ ὑγραίνειν.

Ποταμοὶ δὲ μὴ κατὰ τρόπον γινόμενοι, αἵ-

ματος περίοδον σημαίνουσι· πλέον μὲν ῥέοντες, ὑπερβολήν· ἧσσον δὲ ῥέοντες, ἔλλειψιν. δεῖ δὲ τῇ διαίτῃ, τὸ μὲν αὐξῆσαι, τὸ δὲ μειῶσαι. μὴ καθαροὶ δὲ ῥέοντες, ταραχὴν σημαίνουσι. καθαίρονται δὲ ὑπὸ τῶν τροχῶν, καὶ τῶν περιπάτων, πνεύματι πυκνῷ ἀνακινεύμενα.

Κρῆναι δὲ καὶ φρέατα θεώμενα, πνεύματα περὶ τὴν κύστιν σημαίνει. ἀλλὰ χρὴ τοῖσιν οὐρητικοῖσιν ἐκκαθαίρειν.

Θάλασσα ταρασσομένη, κοιλίης νοῦσον σημαίνει. ἀλλὰ χρὴ τοῖσι διαχωρητικοῖσι, καὶ κούφοισι καὶ μαλακοῖσιν ἐκκαθαίρειν.

Γῆ κινουμένη θεωμένη, ἢ οἰκίη, ὑγιαίνοντι μὲν ἀνδρὶ, ἀσθενείην

gnificant: & auctiora quidẽ fluentia, exceſſum: imminuta verò, defectũ. Oportet itaque per diætam, hunc quidem augere, illũ verò imminuere. Nõ pura autem fluentia, turbationem ſignificãt, quę à curſibus circularibus, & deambutionibus, corpore per denſum ſpiritum moto, purgatur.

Fontes verò & putei cõmoti conſpecti, flatus circa veſicã ſignificant, quos medicamẽtis vrinã cientibus expurgare oportet.

Mare perturbatũ, vẽtris morbũ ſignificat, ſed oportet aluũ mouentibus, leuibúſq; ac mollibus expurgare.

Terram aut domũ moueri videre, ſano quidem viro debilita-

tem ſignificat, ægrotanti verò, ſanitatem & ex præſenti ſtatu tranſmotionem. Sano itaq; trãſmutare diætam conducit: itaque primũ vomat, & rurſus, vbi paulatim cibũ aſſumpſit: à præſenti enim diæta totũ corpus mouetur. Debili verò eadem diæta vti conducit. nam corpus ex p̃ſenti ſtatu tranſit.

Terram ab aqua aliqua aut mari inundatam videre, morbum ſignificat, humiditate multa in corpore exiſtẽte. Verũ oportet vomitibus, & prãdij detractione, & laborib⁹ & ſicco victu vti: deinde ſenſim adiiciendo, ac modico cibo renutrire.

Sed neque nigram,

σημαίνει· νοσέοντι δὲ, ὑγείην καὶ μετακίνησιν τοῦ ὑπάρχοντος. τῷ μὲν οὖν ὑγιαίνοντι μεταστῆσαι τὴν δίαιταν ξυμφέρει. ἐμεσάτω πρῶτον, εἶ προσδέξηται αὖθις κατὰ μικρόν· ἀπὸ γὰρ τῆς ὑπαρχούσης κινέεται ἅπαν τὸ σῶμα. τῷ δὲ ἀσθενέοντι ξυμφέρον χρῆσθαι τῇ αὐτῇ διαίτῃ· μεθίσταται γὰρ δὴ τὸ σῶμα, ἐκ τοῦ παρεόντος.

Κατακλυζομένην γῆν ἀπὸ τινὸς ὕδατος ἢ θαλάσσης ὁρῆν, νοῦσον σημαίνει, ὑγρασίης πολλῆς ἐνεούσης ἐν τῷ σώματι. ἀλλὰ χρὴ τοῖσιν ἐμέτοισι, καὶ ἀναριστήσει, καὶ τοῖσι πόνοισι καὶ ξηροῖσι διαιτήμασι χρῆσθαι· ἔπειτα προσάγειν ἐξ ὀλίγων, καὶ ὀλίγοισιν.

Ἀλλ' οὐδὲ μέλαιναν

ὁρᾷν γῆν, οὐδὲ κατακεκαυμένην δοκεῖ ἀγαθὸν, ἀλλὰ κίνδυνος ἰσχυροῦ νοσήματος αὐπιτυχεῖν καὶ θανασίμου· ξηρασίης γὰρ ὑπερβολὴν σημαίνει ἐοῦσαν ἐν τῇ σαρκί. ἀλλὰ χρὴ τούς τε πόνους ἀφελεῖν, τῶν τε σίτον ὁκόσα ξηρά τε καὶ θερμὰ, καὶ δριμέα καὶ οὐρητικά· διαιτῆσθαί τε τῷ τε πτισάνης καθέφθω τῷ χυλῷ, καὶ πᾶσι τοῖς μαλακοῖσι καὶ κούφοισιν ὀλίγοισι· ποτῷ χρέοντι ὑδαρεῖ, λευκῷ, πλείονι, λουτροῖσι πολλοῖσι θερμοῖσιν. ἀλλὰ μὴ ἄσιτος λουέσθω, μαλακευνείτω, ῥᾳθυμεέτω, ψύχος καὶ ἥλιον φυλασσέσθω. εὔχεσθαι δὲ γῇ, καὶ Ἑρμῇ, καὶ τοῖσιν ἥρωσιν.

Εἰ δὲ κολυμβᾷν ἐν

neque cõbuſtam terram videre bonũ eſt, ſed periculum eſt delabendi in fortem ac lethalem morbũ. Siccitatis enim exceſſum in carne eſſe ſignificat. Verùm oportet & labores detrahere, & cibos qui ſicci & calidi, & acres ac vrinam cientes ſunt: nutrireq; ptiſanæ ſucco decocto, & omnibus mollibus ac leuibus modicis: & potu vti aquoſo, albo, copioſiore: & balneis multis calidis: ſed ieiunus ne lauet, molliter cubet ac dormiat, & in ocio degat, frigus & ſolem vitet. Supplicet autẽ terræ, & Mercurio, & Heroibus.

Si verò in ſtagno, aut in mari, aut in flu

minibus natare quis sibi videatur, non est bonũ: humiditatis enĩ excessũ significat. Cõfert autẽ huic, & diæta sicca, & laboribus vti: febricitãti verò id bonum est: extinguitur enim caliditas ab humoribus.

Quicquid porrò qs circa seipsum videt solito more fieri, ad naturam suipsius, neque maius, neq; minus, bonum est ad sanitatem. Et vestitũ albũ indutum esse, & calciamẽtum pulcherrimũ, bonũ est. Quicquid verò mẽbris maius fuerit, bonum nõ est: sed neq; quodcunq; tandẽ fuerit minus: & oportet hoc quidẽ per diętam augere, illud verò minuere. Nigra autem morbosiora sunt,

λίμνῃ, ἢ ἐν θαλάσσῃ, ἢ ἐν ποταμοῖσι δοκέει, οὐκ ἀγαθόν· ὑπερβολὴν γὰρ ὑγρασίης σημαίνει. ξυμφέρει δὲ τούτῳ, τῇ διαίτῃ, τοῖσί τε πόνοισι χρῆσθαι. πυρέττοντι δὲ ἀγαθόν· σβέννυται γὰρ τὸ θερμὸν ὑπὸ τῶν ὑγρῶν.

Ὅ,τι δ' αὖ τις περὶ αὑτὸν ὁρᾷ κατὰ τρόπον γινόμενον, πρὸς τὴν φύσιν τὴν ἑωυτοῦ, μήτε μέζω, μήτε ἐλάσσω, ἀγαθὸν πρὸς ὑγείην ἐστί. καὶ ἐσθῆτα λευκὴν ἐνδεδύσθαι, καὶ ὑπόδεσιν τὴν καλλίστην, ἀγαθόν. ὅ,τι δ' αὖ εἴη μεῖζον τῶν μελῶν, οὐκ ἀγαθόν· ἀλλ' οὐδ' ὅπερ αὖ εἴη ἔλασσον. καὶ χρὴ τὸ μὲν αὔξειν τῇ διαίτῃ, τὸ δὲ μειοῦν. τὰ δὲ μέλανα νοσερώτερά τε καὶ ἐπι

κίνδυνα. ἀλλὰ χρὴ μαλάσσειν καὶ ὑγραίνειν. καὶ τὰ καινὰ μεταλλαγὴν σημαίνει.

Τοὺς ἀποθανόντας ὁρῆν καθαροὺς ἐν ἱματίοισι λευκοῖσιν, ἀγαθόν· καὶ λαμβάνειν τι παρ' αὐτῶν καθαρὸν, ἀγαθόν· ὑγείην γὰρ σημαίνει καὶ τῶν σωμάτων, καὶ τῶν ἐσιόντων· ἀπὸ γὰρ τῶν ἀποθανόντων αἱ τροφαὶ καὶ αὐξήσιες, καὶ σπέρματα γίνονται. ταῦτα δὲ καθαρὰ εἰσέρπειν ἐς τὸ σῶμα, ὑγείην σημαίνει. ἢν δὲ τοὐναντίον τις ὁρῴη γυμνοὺς ἢ μελανοείμονας, ἢ μὴ καθαροὺς, ἢ λαμβάνοντας τι ἢ φέροντας ἐκ τῆς οἰκίας, οὐκ ἐπιτήδειον· σημαίνει γὰρ νοῦσον· τὰ γὰρ ἐσιόντα ἐς τὸ σῶμα βλαβερά. ἀλλὰ

& periculoſa. mollire itaq; oportet & humectare. Noua quoq; trãſmutationẽ ſignificãt.

Mortuos videre puros in veſtib⁹ albis, bonũ eſt, & accipere aliquid ab ipſis purũ, bonũ eſt. Sanitatẽ enim ſignificat corporũ, & ſalubritatẽ ingeſtorũ: à mortuis enim nutrimenta, & incremẽta, ac ſemina fiunt. Hæc autẽ pura in corpus irrepere, ſanitatẽ ſignificãt. Si verò contra quis videat ipſos nudos, aut nigris veſtib⁹ indutos, aut nõ puros, aut aliquid accipientes, aut ex domo portantes, non eſt cõmodum: morbũ enim ſignificat. quæ enim in corp⁹ ingerũtur, nociua ſunt. Verũ oportet

curſibus circularibus & deambulationibus depurgari, & alimento molli ac leui à vomitu ſenſim nutriri.

Quæcunq; verò formæ peregrinę corpora in ſomnis apparēt, & hominē perterrent, ciborū incōſuetorum repletionē, & ſecretionem, & bilis ſupernè ac infernè eruptionē, & morbum periculoſum ſignificant. Verū oportet vomitū facere, & ad dies quinque cibos quamleuiſsmos nō multos, neq; acres, neq; ſiccos, neq; calidos ſenſim adiiciēdo accipere, & laboribus naturalibus maximè vti, exceptis deābulationibus à cœna. Vtēdum etiam balneis & calidis lauacris, & o-

χρὴ τοῖσι τροχοῖσι καὶ τοῖσι περιπάτοισιν ἀποκαθαίρεσθαι, καὶ τῇ τροφῇ τῇ μαλακῇ τε καὶ κούφῃ προσάγειν ἐμέσαντα.

Ὁκόσα δὲ ἀλλόμορφα σώματα φαίνεται ἐν τοῖσιν ὕπνοισι, καὶ φοβέει τὸν ἄνθρωπον, σιτίων ἀσυνήθων σημαίνει πλησμονὴν, καὶ ἀπόκρισιν, καὶ χολέραν, καὶ νοῦσον κινδυνώδη. ἀλλὰ χρὴ ἔμετον ποιήσασθαι, καὶ προσαγαγεῖν, ἐς ἡμέρας πέντε σιτίοισιν ὡς κουφοτάτοισι μὴ πολλοῖσι, μηδὲ δριμέσι, μήτε τοῖσι ξηροῖσι, μήτε τοῖσι θερμοῖσι, καὶ τῶν πόνων τοῖσι κατὰ φύσιν μάλιστα, πλὴν τῶν ἀπὸ δείπνου περιπάτων. χρῆσθαι δὲ καὶ λουτροῖσι καὶ θερμολουτίῃσι, καὶ ξα-

θυμίησιν. ἥλιον δὲ καὶ ψύχος φυλαττέσθω.

Ἢν δὲ ἐν τῷ ὕπνῳ ἐσθίειν δοκῇ, ἢ πίνειν τῶν συνήθων σιτίων ἢ πομάτων, ἔνδειαν σημαίνει τροφῆς, καὶ ψυχῆς ἀθυμίην. κρέα δὲ τὰ μὲν ἰσχυρότατα, μεγίστης ὑπερβολῆς· τὰ δὲ ἀσθενέστατα, ἥσσω· ὥσπερ γὰρ τὸ ἐσθιόμενον ἀγαθὸν, οὕτω καὶ ὁρώμενον. ἀφαιρέειν οὖν τῶν σιτίων ξυμφέρει· τροφῆς γὰρ ὑπερβολὴν σώματι σημαίνει. ἀλλὰ καὶ ἄρτοι τυρῷ καὶ μέλιτι πεποιημένοι καθ' ὕπνους ἐσθιόμενοι, ὡσαύτως σημαίνουσιν. ὕδωρ δὲ καθαρὸν πινόμενον, ἀγαθόν· τὰ δὲ ἄλλα πάντα, βλάπτει.

Ὁκόσα δὲ δοκέει ὁ ἄνθρωπος θεωρῆν τῶν

cio. Solem verò & frigus vitet.

Si verò quis per somnum edere aut bibere consuetos cibos ac potus sibi videatur, inopiam alimenti significat, & animę tristitiā. Et si carnes robustissimas quis edere se putet, maximū alimenti excessum designat: si verò debilissimas, vt minorē. nam vt id qđ editur bonū est, sic etiam id quod videtur. Cibi igitur detrahendi: nā alimēti excessū hoc significat. Sed & panes ex caseo ac melle facti per somnū comesti, similiter significant. Aquam autē puram bibere bonū est, reliqua omnia noxia.

Quæcunque homo ex consuetis ac familiaribus se videre

putat ea animæ concupiſcentiam ſignificant. Quæcunq; verò fugit perterrefactus, ſanguinem ſiſti ac præ ſiccitate coerceri ſignificant. Cõfert itaque frigefacere corpus ac humectare.

Quũ verò quis pugnat, aut pũgitur, aut ab alio ligatur, ſecretionem circuitui contrariam corpori cõtigiſſe ſignificat. Cõducit igitur vomere, & attenuare ac deãbulare, & cibis leuibus vti, & à vomitu ad dies quinque ſenſim renutrire.

Quin & oberrationes & aſcenſus in ſomnis viſi, grauia ſignificant. Fluminum trãſitiones & hoſtes, armati, mõſtra formæ peregrinæ, morbũ aut

συνήθων, ψυχῆς ἐπιθυμίην σημαίνει. ὁκόσα δὲ φεύγει πεφοβημένος, ἐπίστασιν τοῦ αἵματος σημαίνει ὑπὸ ξηρασίης. ξυμφέρει δὲ ψύξαι καὶ ὑγρῆναι τὸ σῶμα.

Ὁκόσα δὲ ἢ μάχεται, ἢ κεντέεται, ἢ ξυνδεῖται ὑπ' ἄλλου, ἀπόκρισιν σημαίνει ὑπεναντίην τῇ περιόδῳ γεγονέναι τῷ σώματι. συμφέρει οὖν ἐμέειν καὶ ἰσχναίνειν καὶ περιπατεῖν, καὶ σιτίοισι κούφοισι χρῆσθαι, καὶ προσάγειν ἐκ τοῦ ἐμέτου, ἐς ἡμέρας πέντε.

Ἀλλὰ καὶ πλάνοι καὶ ἀναβάσιες ἐν φαντασμάτων, χαλεπὰ ταῦτα σημαίνουσι. ποταμῶν διαβάσιες καὶ ὁπλῖται, καὶ πολέμιοι, καὶ τέρατα ἀλλόμορ

φα, νοῦσον σημαίνει, ἢ μανίην. ξυμφέρει οὖν τοῖς ἐν τοιούτοισιν ἀλωμένοισι, σιτίοισιν ὀλίγοισι, κούφοισί τε καὶ μαλακοῖσι χρέεσθαι, καὶ ἐμέτοισι· προσάγειν ἡσυχῇ ἐπὶ ἡμέρας πέντε· καὶ τοῖσι πόνοισι τοῖσι κατὰ φύσιν πολλοῖσι χρέεσθαι, πλὴν ἀπὸ δείπνου. θερμολουσίην δὲ, ῥᾳθυμίην, ψύχος, ἥλιον, φυλάσσεσθαι.

Τούτοισι χρώμενος, ὡς γέγραπται, ὑγιαίνει τὸν βίον. καὶ εὕρηταί μοι δίαιτα, ὡς δυνατὸν εὑρεῖν ἄνθρωπον ὄντα, ξὺν τοῖσι θεοῖσιν.

insaniam significant. Confert itaq; his qui talibus in somnis vexantur, cibis modicis vti, leuibusq; ac mollibus, itemq; vomitibꝰ, atq; sic sensim rursus ad dies quinque cibũ exhibere. Vtendum & laboribus naturalibus multis, præterquam à cœna, Calida lauacra, & ocium, frigusq; ac solem vitent.

Qui igitur his quẽadmodum conscripta sunt vtetur, vitã sanus deget. & inuẽta est sanè à me hæc ipsa dięta, quantum possibile est humano ingenio excogitare, diis auxiliantibus.

# ΙΠΠΟΚΡΑΤΟΥΣ ΟΡΚΟΣ.

Ὄμνυμι Ἀπόλλωνα ἰητρὸν, καὶ Ἀσκληπιὸν, καὶ Ὑγείαν, καὶ Πανάκειαν, καὶ θεοὺς πάντας καὶ πάσας ἵστορας ποιεύμενος, ἐπιτελέα ποιήσειν κατὰ δύναμιν καὶ κρίσιν ἐμὴν, ὅρκον τόνδε καὶ ξυγγραφὴν τήνδε.

Ἡγήσεσθαι μὲν τὸν διδάξαντά με τὴν τέχνην ταύτην, ἴσα γενέτῃσιν ἐμοῖσιν· καὶ βίου κοινώσεσθαι· καὶ χρεῶν χρηΐζοντι μετάδοσιν ποιήσεσθαι· καὶ γένος τὸ ἐξ ἑωυτέου, ἀδελφοῖς ἴσον ἐπικρινέειν ἄρρεσι.

# IVSIVRANDVM HIPPOCRATIS.

Teſtor Apollinem medicũ, & AEſculapiũ, Hygiénque,& Panaceam, & deos & deas omnes, me quantum in me erit & quãtum ingenium meum valebit, hæc omnia obſeruaturum, quæ hoc iureiurãdo atque his tabulis continentur.

Tributurũ me pręceptori meo à quo hãc artẽ ſum edoctus, nõ minus q̃ parenti à quo ſum genitus. Vitã cũ eo cõmunicaturũ: res omnes quas illi neceſſarias eſſe intelligam, pro viribus meis ſubminiſtraturũ: progeniem eius fratrem loco habiturum.

Καὶ διδάξειν τὴν τέχνην ταύτην, ἢν χρηΐζωσι μανθάνειν, ἄνευ μισθοῦ καὶ ξυγγραφῆς. παραγγελίης τε καὶ ἀκροήσιος, καὶ τῆς λοιπῆς ἁπάσης μαθήσιος μετάδοσιν ποιήσεσθαι υἱοῖσί τε ἐμοῖσι, καὶ τοῖσι τοῦ ἐμὲ διδάξαντος, καὶ μαθηταῖσι συγγεγραμμένοις τε, καὶ ὡρκισμένοις νόμῳ ἰητρικῷ, ἄλλῳ δὲ οὐδενί.

Διαιτήμασί τε χρήσομαι, ἐπ' ὠφελείῃ καμνόντων κατὰ δύναμιν καὶ κρίσιν ἐμήν· ἐπὶ δηλήσει δὲ καὶ ἀδικίῃ εἴρξειν.

Οὐ δώσω δὲ οὐδὲ φάρμακον οὐδενὶ αἰτηθεὶς, θανάσιμον, οὐδὲ ὑφηγήσομαι ξυμβουλίην τοιήνδε·

Ὁμοίως δὲ οὐδὲ γυναικὶ πεσσὸν φθόριον

Hanc artẽ ſine mercede & ſine pactionibus edocturum: præcepta omnia libenter & fideliter traditurũ meis & præceptoris mei liberis, cęteriſque diſcipulis, qui ſe legibus medicinæ aſtrinxerint, atque iurati fuerint, alij præterea nemini.

In curandis ægrotis pro viribus. & pro ingenio meo neceſſariis rebus vſurũ. Nemini ægritudinem dilaturum, nihil per iniuriam facturum.

Rogatum nemini venenum daturũ, neque id cuiquam conſulturum.

Neque prægnãti mulieri ad interficiendũ conceptum fœtum po

tionem porrecturum.

Vitam meam atque artem meam puram atque integram seruaturum.

Laboranti lapillo haud quenquam excisurũ, sed expertis eius artis hoc negocium permissurum.

Quamcunque domum ingressus fuero, duntaxat liberãdis ægrotis operam daturum. Omnẽ iniuriã, omnem corruptelam, omne genus turpitudinis, res etiam venereas sponte mea euitaturum: siue muliebria corpora curauero, siue virilia, siue hominis liberi, siue serui.

Quæ inter curandum vel videro, vel audiero, vel etiam extra curam in vita hominum cognouero, quæ reticenda esse in-

δώσω.

Ἀγνῶς δὲ καὶ ὁσίως διατηρήσω βίον τὸν ἐμὸν, καὶ τέχνην τὴν ἐμήν.

Οὐ τεμέω δὲ οὐδὲ μὴν λιθιῶντας· ἐκχωρήσω δὲ ἐργάτῃσιν ἀνδράσι πρήξιος τῆσδε.

Εἰς οἰκίας δὲ ὁκόσας ἂν ἐσίω, ἐσελεύσομαι ἐπ᾽ ὠφελείῃ καμνόντων, ἐκτὸς ἐὼν πάσης ἀδικίης ἑκουσίης, καὶ φθορίης τῆς τε ἄλλης, καὶ ἀφροδισίων ἔργων, ἐπί τε γυναικείων σωμάτων καὶ ἀνδρῴων, ἐλευθέρων τε καὶ δούλων.

Ἃ δ᾽ ἂν ἐν θεραπείῃ ἢ ἴδω ἢ ἀκούσω, ἢ καὶ ἄνευ θεραπείης κατὰ βίον ἀνθρώπων, ἃ μὴ χρή ποτε ἐκλα-


λέεσθαι ἔξω, σιγήσομαι, ἄῤῥητα ἡγεύμενος εἶναι τὰ τοιαῦτα.

Ὅρκον μὲν οὖν μοι τόνδε ἐπιτελέα ποιέοντι, καὶ μὴ ξυγχέοντι, εἴη ἐπαύρεσθαι καὶ βίου καὶ τέχνης δοξαζομένῳ παρὰ πᾶσιν ἀνθρώποισιν εἰς τὸν ἀεὶ χρόνον· παραβαίνοντι δὲ καὶ ἐπιορκοῦντι, τἀναντία τουτέων.

telligam, nemini aperiturum, ſed intemeratam taciturnitatem ſeruaturum.

Præſens igitur iuſiurandum integre atque incorrupte ſeruãti mihi omnia tam in vita quàm ĩ arte mea proſpera feliciaq; ſuccedant, & gloria in ęternũ parata ſit: trãſgredienti vero atque periuro contraria omnia eueniant.

EXCVDEBAT GVIL. MORELIVS, IN GRAECIS TYPOGRAPHVS REGIVS, LVTETIAE PARISIORVM M. D. LVII. CAL. DECEMBR.



Δεύτεραι φροντίδες σοφώτεραι.

